ΚΑΤΗΧΗΣΕΙΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΠΙΣΤΕΩΣ,

Καθάπερ αὐταὶ ἐν ταῖς ὀρθοδόξαις Ἐκκλησίαις τε καὶ Σχολαῖς παραδίδονται.



CANTABRIGIÆ:
Ex Officina *Rogeri Daniel*, Almæ Academiæ Typographi. 1648.

ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

Διαλέγονται ὁ Διδάσκαλος, καὶ ὁ Μαθητὴς, ἤγουν ὁ διδάσκαλος τοῦ Εὐαγγελίου καὶ ὁ παῖς.

Δ. Ι πρώτιστόν τε καὶ κυριώτατόν ἐστι τὸ τοῦ ἀνθρωπίνου βίου τέλος;

M. Τὸ τοὺς ἀνθρώπους τὸν Θεόν, ὑφ' οὗ ἐκτίσθησαν, γινώσκειν.

Δ. Τίνα αἰτίαν ἔχεις τοῦ ἀποδεῖξαι ὃ λέγεις;

M. Ὅτι ἐκεῖνος διὰ τοῦτο εἰσήνεγκεν ἡμᾶς εἰς τὸν κόσμον καὶ ἔκτισεν ἡμᾶς, ἵνα ἐν ἡμῖν δοξασθῇ. καὶ μὴν καὶ εἰκὸς τῆς ἐκείνου δόξης στοχαζομένους ἡμᾶς διατελεῖν τὸν βίον, ὃς αὐτοῦ ἀρχὴ καὶ αἰτία τούτου τυγχάνει ὤν.

Δ. Τί δὲ ἐστι τὸ πρῶτον καὶ μέγιστον τῶν παρ' ἀνθρώποις ἀγαθῶν;



M. Αὐτὸ τοῦτο.

Δ. Τίνος ἕνεκα μέγιστον τοῦτ' ἀγαθὸν νομίζεις;

Μ. Ὅτι ἄνευ τούτου κάλλιον ἡμῖν τὰ ἄλογα τῶν ζώων φέροιτο ἄν.

Δ. Ἐντεῦθεν οὖν δῆλον ὅτι οὗτός ἐστιν ὁ ἔσχατος τῆς δυστυχίας ὅρος, τὸ μὴ ζῆν ἀρεσκόντως τῷ θεῷ.

Μ. Οὕτως.

Δ. Ποία δέ τις ἡ ἀληθὴς καὶ ὀρθὴ τοῦ θεοῦ γνῶσις;

Μ. Τὸ οὕτως αὐτὸν γνῶναι, ὥστε τὴν προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμειν.

Δ. Τί δὲ ποιοῦντες, τὴν πρέπουσαν αὐτῷ προσάψομεν τιμήν;

Μ. Ἐὰν ἐκείνῳ μόνῳ πεποιθότες ὦμεν, καὶ οὕτω σέβωμεν αὐτὸν, ὥστε κατὰ πάντα εὐπειθεῖς αὐτῷ εἶναι· ἔτι δὲ καὶ ἐὰν ἐκεῖνον ἀμηχανίᾳ συνεχόμενοι ἐπικαλώμεθα, καὶ πρὸς αὐτὸν καταφεύγωμεν, σωτηρίαν καὶ πᾶν ἀγαθὸν, οὗ ἐπιθυμεῖν ἐνδέχεται, παρ' αὐτοῦ προσδοκῶντες. τὸ τελευταῖον δὲ, ἐὰν οὕτω διανοώμεθα

θαι περὶ αὐτοῦ, ὡς μόνου πάντων ἀγαθῶν αἰτίου καὶ χορηγοῦντος, καὶ οὐ διανοώμεθα μόνον, ἀλλὰ καὶ ἐξαγορεύωμεν, καὶ φανερὸν ἅπασι ποιώμεθα.

§. 2. Δ. Ἵνα δὲ σὺν τάξει ἐξετάζωμεν ταῦτα, καὶ ἀρχῆς ἐπιλαβόμενοι διεξέλθωμεν· τί τὸ πρῶτον τῆς σῆς διαιρέσεως κεφάλαιόν ἐστι;

M. Τὸ δεῖν ἡμᾶς τῷ Θεῷ πεποιθέναι.

Δ. Πῶς δὴ τοῦτο γένοιτο ἄν;

M. Ἐὰν ἐκεῖνον παντοκράτορά τε καὶ παναγαθὸν γινώσκωμεν ὄντα.

Δ. Ἆρά γε ἀρκεῖ τοῦτο;

M. Οὐδαμῶς.

Δ. Διὰ τί;

M. Ὅτι οὐκ ἄξιοι ἐσμὲν βοηθείας παρὰ τῆς αὐτοῦ δυνάμεως τυχεῖν, οὐδὲ τῶν τῆς ἀγαθότητος αὐτοῦ δωρεῶν ἀπολαύειν.

Δ. Τί οὖν ἐπιζητεῖται πλέον;

M. Τὸ ἕκαστον ἡμῶν πεπεῖσθαι, ὅτι ἐκεῖνος φιλεῖ αὐτὸν, πατήρ τε καὶ σωτὴρ αὐτοῦ εἶναι ἀξιοῖ.

Δ. Πόθεν δὲ τοῦτο δῆλον ἡμῖν ἔσται;

Μ. Ἐκ τῶν ἱερῶν αὐτοῦ λογίων, οἷς δὴ τὸν ἔλεγχον αὐτῶν τῶν διὰ Ἰησοῦ Χριστοῦ φανερωθὲν ἡμῖν ποιεῖται, τῆς τε αὐτοῦ πρὸς ἡμᾶς ἀγάπης καὶ εὐνοίας μαρτύριον παρέχεται.

Δ. Πάντας οὖν ἀνάγκη ἐστὶ τοὺς τῷ Θεῷ μέλλοντας πεισθῆναι, πρότερον ἐν Ἰησοῦ Χριστῷ ἐκεῖνον γνῶναι;

Μ. Πάνυ μὲν οὖν.

Δ. Τὸ νῦν ἔχοντα τῆς γνώσεως ταύτης κεφάλαια ἡδέως ἂν σοῦ διὰ βραχέων διεξιόντος ἀκούσαιμι.

Μ. Ἐκεῖνά ἐστι τὰ περιεχόμενα τῇ ἐξομολογήσει τῆς πίστεως, μᾶλλον δὲ τῷ τύπῳ τῆς ἐξομολογήσεως τῶν πάντων Χριστιανῶν κοινῷ ὄντι· τοῦτον δέ, σύμβολον τῶν Ἀποστόλων ὀνομάζειν ἔθος, ὅτι ἀπ' ἀρχῆς τῆς ἐκκλησίας ἀεὶ παρὰ πάντων τῶν ὀρθοδόξων ἀποδοχῆς ἠξιώθη· καὶ ὅτι ἤτοι ἀπὸ τοῦ στόματος τῶν Ἀποστόλων παρελήφθη, ἢ ἐκ τῶν συγγραμμάτων αὐτῶν μετὰ πάσης εὐλαβείας συνελέχθη.

Δ. Λέγε μοι αὐτήν.

Μ. Πιστεύω εἰς Θεὸν πατέρα παντοκράτορα· ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, Κύριον ἡμῶν· συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου, παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα· κατελθόντα εἰς ᾅδου· τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν· ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐκ δεξιῶν Θεοῦ πατρὸς παντοκράτορος· ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύω εἰς πνεῦμα ἅγιον· πιστεύω τὴν ἁγίαν ἐκκλησίαν καθολικὴν, ἁγίων κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον. Ἀμήν.

§. 3. Δ. Ἵνα δὴ ἀκριβῶς ἕκαστον τούτων τῷ νῷ καταλαμβάνωμεν, εἰς πόσα μέρη ταύτην τὴν ἐξομολόγησιν διαιρήσομεν;

Μ. Εἰς τέτταρα, τά γε κύρια.

Δ. Ἐκεῖνα δή μοι διηγοῦ.

Μ. Τὸ πρῶτον περὶ τοῦ Θεοῦ τοῦ πατρὸς

ἔσται. τὸ δεύτερον, περὶ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. ὃ καὶ τὴν ὅλην τῆς ἡμετέρας ἀπολυτρώσεως ἱστορίαν περιέχει. τὸ τρίτον, περὶ τοῦ ἁγίου πνεύματος, τὸ δὲ τέταρτον, περὶ τῆς ἐκκλησίας πίστει καὶ τῶν τοῦ Θεοῦ εἰς αὐτὴν εὐεργεσιῶν.

Δ. Πῶς δὲ, Θεοῦ γε ἑνὸς ὄντος, ἐνταῦθα μοι τρεῖς καταλέγεις, τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα;

Μ. Ὅτι ἐν μιᾷ καὶ μόνῃ θείᾳ οὐσίᾳ ἡμῖν τὸν πατέρα σκεπτέον, ὡς πάντων ἀρχὴν, καὶ πρῶτον αἴτιον ὑπάρχοντα. εἶτα τὸν υἱὸν ὡς τὴν ἐκείνου ἀΐδιον σοφίαν ὄντα. ἔτι δὲ τὸ ἅγιον πνεῦμα, ὡς αὐτοῦ δύναμιν, τὴν διὰ πάντων μὲν διήκουσαν, ὅμως δὲ ἐν αὐτῷ ἀεὶ διαμένουσαν.

Δ. Ἐκ τούτου δηλοῖς, ὅτι οὐκ ἄτοπον τῇ αὐτῇ θείᾳ οὐσίᾳ τρεῖς ὑποστάσεις περιλαβεῖν διωρισμένως, οὐδὲν ἧττον ἀδιαιρέτου μένοντος τοῦ Θεοῦ.

Μ. Καὶ μάλα.

Δ. Λέ-

Δ. Λέγε δὴ νυνὶ τὸ πρῶτον μέρος.

Μ. Πιστεύω εἰς Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς.

Δ. Διὰ τί αὐτὸν πατέρα καλεῖς;

Μ. Εἰς τὸν Ἰησοῦν Χριστὸν ἀποσκοπῶν, ὃς αὐτοῦ σοφία ἐστὶ, γεννηθεῖσα ἐξ ἐκείνου πρὸ αἰώνων, καὶ ὃς ὕστερον εἰς τὸν κόσμον πεμφθεὶς, υἱὸς ὢν αὐτοῦ ἐφανερώθη, καὶ δὴ καὶ ἐμαρτυρήθη. Εἰ δὲ τοῦ Ἰησοῦ Χριστοῦ πατὴρ ὁ Θεός ἐστι, ταύτῃ δὴ καὶ πατέρα ἡμῶν εἶναι συλλογιζόμεθα.

Δ. Πῶς δὲ παντοκράτορα εἶναι νοεῖς;

Μ. Οὐχ ὅπως ἐκεῖνον κράτος μὲν ἔχειν, ἐξῆφθαι δὲ οὔ, ἀλλὰ κτίσμα πᾶν ὑποχείριον ἔχειν, πάντα τε αὐτὸν τῇ ἰδίᾳ προνοίᾳ διέπειν, τὸν κόσμον διακυβερνῶντα ᾗ ἂν αὐτῷ δοκῇ, ὥστε μηδὲν παρ' ὃ βούλεται, γίνεσθαι.

Δ. Οὐκοῦν, κατά γε τὸν σὸν λόγον, ἀργὸν τὸ τοῦ Θεοῦ κράτος ἐστὶ, μᾶλλον δὲ ἀεὶ τοῖς πρακτέοις ἐνεργῶς πρόσεστι, ὥστε μηδὲν τὸ παράπαν, εἰ μὴ προστάξαντος ἢ συγχωρήσαντός γε ἐκείνου, γίνεσθαι.

§. 4. Δ. Διὰ τί δὲ ἐπάγεις, ὅτι οὐρανοῦ τε καὶ γῆς ποιητής ἐστιν;

Μ. Ἐπειδὴ ἑαυτὸν ἡμῖν διὰ τῶν ἰδίων ἔργων φανερὸν ἐποίησεν, δῆλον ὅτι ἐν αὐτοῖς καὶ ὑφ' ἡμῶν ζητητέος τοῦτ' ἔστιν, ὅτι ἐκ τούτων ἡ τὸν μᾶς ποῖός τις ἐστὶ τεκμαίρεσθαι προσήκει. γὰρ ἐκείνου οὐσίαν διανοίᾳ περιλαβεῖν, ἐν τὴν ἀδύνατόν τι ἡμῖν ἐστιν. ὁ κόσμος οὖν ὥσπερ κατόπτρου τι πρόκειται, ἐν ᾧ κατοπτεύεσθαι αὐτὸν δυναίμεθ' ἄν, καθόσον αὐτὸν ἡμῖν γνῶναι συμφέρει.

Δ. Τῷ οὐρανῷ δὲ καὶ τῇ γῇ, οὐχὶ καὶ τὰς λοιπὰς κτίσεις συμπεριλαμβάνεις;

Μ. Πάνυ μὲν οὖν. δυσὶ δὲ ὀνόμασι τούτοις ἁ αὗται περιέχονται, ὅτι οὐράνιαι πᾶσαι ἢ γήιναι εἰσίν.

Δ. Διὰ τί δὲ τὸν Θεὸν κτίστην ἐπονομάζεις ἁπλῶς, εἴγε τὸ συνέχειν τε καὶ δια σώζειν ἀεὶ τὰς κτίσεις οὕτως ὥστε τὴν ἐξ ἀρχῆς ἔλαχον φύσιν, ταύτην εἰς τέλος διαφυλάττειν, μεῖζον πολλῷ τῷ μέτρῳ ἐστὶν ἢ τὸ ἅπαξ ἐκείνας κτίσαι;

Μ. Ἀλ

Μ. Ἀλλὰ γὰρ οὐ διὰ τοῦτο δηλοῦται τοῦ …όμαλος, ὅτι πάντα οὕτως ἐδημιούργησεν, ὡς αὐτὰ ὕστερον ἀτημέλητα καταλιπεῖν. μᾶλλον δὲ δεῖ νοεῖν, ὅτι ὥσπερ τὸ κατ' ἀρχὰς τὸν κόσμον ἔκτισεν, οὕτω καὶ νῦν αὐτὸν ὡσαύτως ἀεὶ ἔχοντα καὶ οὐδεμίαν μεταβολὴν δεχόμενον διατηρεῖ. ὥστε τὸν οὐρανὸν καὶ τὴν γῆν …ειεὶς τῆς αὐτοῦ δυνάμεως μηδὲ ὑφισταμένου …δυνάσθαι. πρὸς δὲ τούτοις, αὐτὰ πάντα ἀντιστοιχεῖα ἔχοντα, ἀνάγκη ἐστὶ πάντων κυβερνήτην καὶ δεσπότην εἶναι. διὸ καὶ καθόσον οὐρανοῦ τε καὶ γῆς δημιουργὸς τυγχάνει ὤν, νοεῖν προσήκει ὅτι καὶ ἐκεῖνός ἐστι μόνος ὁ τῇ ἑαυτοῦ ἀγαθότητι, δυνάμει τε καὶ σοφίᾳ ἅπασαν τῆς φύσεως κατάστασιν διευθύνων· ὁ τοὺς ὄμβρους τε καὶ τοὺς αὐχμοὺς καὶ χάλαζαν, ἄλλους τε χειμῶνας καὶ εὐδίαν ἐπιπέμπων. καὶ ὃς τῇ διὰ ἑαυτοῦ ἀγαθωσύνῃ τὴν γῆν ποτὲ μὲν εὔκαρπον ποιεῖ, ποτὲ δὲ πάλιν ἄκαρπον, τὴν ἑαυτοῦ χεῖρα ἀναστέλλων. ἀφ' οὗ ὑγεία τε καὶ νόσοι ἔρχονται. συνελόντι δ' εἰπεῖν, ἐκεῖνός ἐστι,

ᾧ πάντα οὕτω πείθεται, ὥστε λέγεσθαι αὐτοῖς τὴν ὅ, τι ἂν βούληται, δύνασθαι.

Δ. Περὶ δὲ τῶν δαιμόνων καὶ τῶν ἀσεβῶν ἀνθρώπων πῶς ἡμᾶς γνώμης ἔχειν προσήκει; ἆρα καὶ αὐτοὺς ὑπ' ἐκείνου ἄρχεσθαι ἐροῦμεν;

Μ. Καίπερ ἐκείνους οὐ τῷ ἑαυτοῦ πνεύματι διακυβερνᾷ, ὅμως τῷ ἑαυτοῦ κράτει, οἱονεὶ ψαλίῳ, οὕτω κατέχει, ὥστε μηδὲ κινεῖν ἑαυτοὺς οἵους τε εἶναι, εἰ μὴ ἐξουσίαν δόντος ἐκείνου· ἀλλὰ καὶ ὁσάκις ἄν τι προστάττειν αὐτοῖς ἐθελήσῃ, ἐκείνους τὸ κελευόμενον ποιεῖν καὶ ἄκοντας καταναγκάζει.

Δ. Τί δέ σε ὠφελεῖ τὸ ταῦτα γνῶναι;

Μ. Οὐκ ἐλάχιστα δῆτα. κακῶς γὰρ ἂν ἐφέρετο τὰ ἡμέτερα, εἴπερ οἱ δαίμονές τε καὶ οἱ πονηροὶ τῶν ἀνθρώπων ἀπεργάζεσθαί τι ἄκοντος τοῦ Θεοῦ ἐδύναντο· καὶ οὐδέποτε τὴν ψυχὴν ἀμέριμνον καὶ ἄφοβον εἴχομεν ἄν, τῇ αὐτῶν ἐπιθυμίᾳ ὑποχειρίους ἡμᾶς εἶναι διανοούμενοι· νῦν δὲ εἰδότας ἡμᾶς ὅτι ὁ Θεὸς

τὴν

τὴν ἐκείνων ὁρμὴν ὁιονεὶ χαλινῷ τινι ἀναστέλ-
λει, ὥστε μηδὲν τοπαράπαν ποιεῖν δύνασθαι
μὴ συγχωροῦντος ἐκείνου, ἄξιον θαῤῥεῖν τε
καὶ εὐφραίνεσθαι· ἄλλως τε καὶ ἐπεὶ ὁ Θεὸς ὑπερ-
ασπιστὴς καὶ ἀλεξίκακος ἡμῖν ἔσεσθαι ἐπαγγέλ-
λεται.

§. 5. Δ. Ἴθι δὲ, πρὸς τὸ δεύτερον μέ-
ρος μεταβαίνωμεν.

Μ. Καὶ εἰς Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐ-
τοῦ τὸν μονογενῆ Κύριον ἡμῶν.

Δ. Τί δὲ ἐν κεφαλαίῳ περιέχει;

Μ. Ὅτι τὸν τοῦ Θεοῦ υἱὸν, σωτῆρα ἡμέ-
τερον εἶναι πιστευτέον· περιέχει δὲ καὶ ὃν τρόπον
ἡμᾶς τοῦ θανάτου ἀπολυτρώσας, σωτηρίαν
περιεποίησατο ἡμῖν.

Δ. Τί δὲ σημαίνει τοῦτο τοὔνομα Ἰησοῦς,
ὅπερ ἐκεῖνον ὀνομάζεις;

Μ. Σωτῆρα δηλοῖ ὅτι· ὑπ' ἀγγέλου δὲ
ἐτέθη κατὰ τὸ τοῦ Θεοῦ πρόσταγμα.

Δ. Ἆρ' οὖν τοῦτο περὶ πλείονος ποιήσασθαι
δεῖ ἢ εἰ ὑπ' ἀνθρώπων αὐτὸ ἔλαβεν;

Μ. Παν-

M. Παντάπασι μὲν οὖν. εἰ γὰρ οὕτως ὀνομάζεσθαι αὐτὸν ὁ Θεὸς παρεγγυᾷ, τῷ ὄντι φερώνυμον ἀνάγκη εἶναι.

Δ. Τὸ δὲ Χριστὸς, τίς;

M. Ταύτῃ γε τῇ προσηγορίᾳ τί ἐστι τὸ ἐκείνου ἔργον, δηλοῦται σαφέστερον. ἐκ ταύτης γὰρ ἐστι καταμαθεῖν, ὅτι ὁ πατὴρ ἔχρισεν αὐτὸν, ἵνα βασιλέα τε ἀρχιερέα καὶ δὴ καὶ προφήτην καταστήσῃ.

Δ. Πῶς τοῦτο τεκμαίρεσθαι ἔχεις;

M. Ὅτι ἡ ἱερὰ γραφὴ πρὸς τρία ταῦτα τὰ χρίσει εἴωθε λέγεσθαι, ἅπερ τῷ Χριστῷ πολλαχοῦ φανερά ἐστι προσάπτουσα.

Δ. Ποίῳ δὲ ἐλαίῳ εἴδει κέχρισται;

M. Οὐ τῷ ὁρατῷ γε, δι' οὗ ἡ τῶν πάλαι βασιλέων τε καὶ ἱερέων καὶ προφητῶν καθιέρωσις ἐτελεῖτο, ἀλλὰ κρείττονι, ἤγουν τοῖς τοῦ ἁγίου πνεύματος χαρίσμασιν· οὗπερ τύπος ἦν τὸ ἔξωθεν περιχεόμενον πάλαι ἔλαιον.

Δ. Ποίαν δὲ αὐτοῦ βασιλείαν λέγεις;

M. Πνευματικὴν δὴ καὶ ἐν τῷ τοῦ Θεοῦ

λόγῳ

λόγῳ τε καὶ πνεύματι καθιερηκυῖαν· ἃ δύο τὴν δικαιοσύνην καὶ τὴν ζωὴν περιέχει.

Δ. Τίς δέ ἐστιν ἡ ἱερατική, ἧς ἐμνήσθης;

Μ. Ἡ μόνη καθήκει καὶ ἔξεστι ἑαυτὴν τῷ Θεῷ παραστῆσαι, ἵνα συγγνώμονα καὶ ἵλεων αὐτὸν ἀπεργάσηται, διὰ τοῦ κεχαρισμένην αὐτῷ θυσίαν προσφέρειν.

Δ. Πῶς δὲ καὶ προφητικὸν τὸν Χριστὸν καλεῖς;

Μ. Ὅτι καταβὰς εἰς τὸν κόσμον, τοῦ Θεοῦ ἄγγελόν τε καὶ πρεσβευτὴν τιμιώτατον πρὸς τοὺς ἀνθρώπους ἑαυτὸν ἀνηγόρευσεν, ὅπως ἂν τὴν ἐκείνου βουλὴν ἀκριβῶς ἐκθέμενος αὐτοῖς, πάσαις ταῖς προφητείαις καὶ ἀποκαλύψεσι τέλος ἐπιθῇ.

§. 6. Δ. Ἆρά γε τί ἀπόνασθαι τούτων δυνάσαι;

Μ. Μᾶλλον δὲ οὐκ ἄλλοσε ἢ εἰς τὸ ἡμέτερον ἀγαθὸν γενέσθαι τούτων ἕκαστον· καὶ γὰρ ὁ Ἰησοῦς Χριστὸς ταῦτα πάντα τὰ χαρίσματα παρὰ τοῦ πατρὸς ἔλαβεν, ἕνεκα τοῦ ἡμῖν αὐ-

τῶν

τὴν μεταδοῦναι, ἵνα πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ ἀρυώμεθα.

Δ. Τοῦτό μοι διὰ πλειόνων τράνωσον.

Μ. Τοῦ ἁγίου πνεύματος, ἅμα δὲ τῶν αὐτοῦ χαρισμάτων ἁπάντων ἐπληρώθη, ἵνα καὶ ἡμῖν ταῦτα χαρίσηται, καὶ διαδιδῷ ἑκάστῳ κατὰ τὸ μέτρον ὅπερ ὁ Πατὴρ ἡμῖν προσῆκον οἶδεν· οὕτως οὖν ἐξ ἐκείνου, ὥσπερ ἐκ τῆς μόνης πηγῆς ἀρυόμεθα, ὅσα ἔχομεν τῶν πνευματικῶν ἀγαθῶν.

Δ. Τίνα δὲ ἡμῖν ἡ ἐκείνου βασιλεία χρείαν παρέχεται;

Μ. Δῆλον ὅτι δι' αὐτοῦ ἐλευθερωθείσας τὰς συνειδήσεις ἔχοντες, ἐφ' ᾧ ὅσιον καὶ ἄμεμπτον διάγειν βίον, καὶ τὸν πνευματικὸν αὐτοῦ πλουτισθέντες πλοῦτον, προσέτι καὶ ἰσχύι ὁπλιζόμεθα τῇ τὸν διάβολον, ἁμαρτίαν τε καὶ σάρκα καὶ τὸν κόσμον (οἷς ἀδιάλλακτος ἔχθρα κατὰ τῶν ἡμετέρων ψυχῶν ἐστι) καταπαλαίειν ἱκανῇ οὔσῃ.

Δ. Ἡ δὲ ἱερωσύνη εἰς τί ἡμῖν συμφέρει;

Μ. Πρῶ-

Μ. Πρῶτον μὲν καθόσον διὰ ταύτης, τῆς τοῦ μεσιτεύειν ἐξουσίας τετυχηκώς, ἡμᾶς πρὸς τὸν αὐτοῦ πατέρα διαλλάττει· εἶτα δὲ καὶ ὅτι δι' ἐκείνου ἐξουσίαν ἔχομεν καὶ ἡμεῖς αὐτοῦ τῷ Θεῷ προσελθεῖν, καὶ ἑαυτοὺς ἅμα τοῖς παρ' ἡμῶν ἅπασιν εἰς θυσίαν αὐτῷ προσενεγκεῖν· καὶ οὕτω πως ἡμεῖς τοῦ αὐτοῦ ἱερατικοῦ ἀξιώματος συμμετέχομεν αὐτῷ.

Δ. Λοιπὸν ἐστὶ περὶ τῆς προφητείας λέγειν.

Μ. Ἐπειδὴ ὁ Κύριος Ἰησοῦς δεσπότης καὶ διδάσκαλος τῶν πιστῶν κατεστάθη, τοῦτον ἔχει προκείμενον τὸν σκοπόν, τὸ εἰς τὴν τοῦ πατρὸς καὶ τῆς αὐτοῦ ἀληθείας γνῶσιν ἐκείνους ἀγαγεῖν, ὥστε οἰκείους τοῦ Θεοῦ μαθητὰς γίνεσθαι.

Δ. Ἐκ τούτων δήπου συμπεραίνεσθαι θέλεις ὅτι τοῦτο τοὔνομα Χριστὸς τὰ τρία ἔργα τὰ παρὰ τοῦ Θεοῦ τῷ υἱῷ δοθέντα περιλαμβάνει, ἵνα τῆς ἐκ τούτων ἐνεργείας καὶ ὠφελείας μεταδῷ τοῖς υἱοῖς αὐτοῦ.

Μ. Πάνυ γε.

§. 7. Δ. Διὰ

§. 7. Δ. Διὰ τί δὲ τὸν υἱὸν τοῦ Θεοῦ μονογενῆ ὀνομάζεις, τοῦ Θεοῦ ἡμᾶς ἅπαντας τοῖς ἑαυτοῦ υἱοῖς ἐγγράφοντος;

Μ. Ὅτι οὐ φύσει τοῦ Θεοῦ υἱεῖς ἐσμὲν, ἀλλὰ υἱοθεσίᾳ μόνον καὶ χάριτι, ἤγουν ἐφόσον ἡμᾶς υἱῶν ἑαυτοῦ τάξιν ἐπέχειν ἀξιοῖ· ὁ δὲ Κύριος Ἰησοῦς ὁ γεννηθεὶς ἐκ τῆς τοῦ πατρὸς οὐσίας, κἀκείνῳ ὁμοούσιος ὢν, εἰκότως υἱὸς μονογενὴς καλεῖται· οὐδεὶς γὰρ ἄλλος φύσει υἱὸς τοῦ Θεοῦ ἐστιν.

Δ. Οὕτως οὖν γινώσκεις, ὅτι ἐκείνῳ μόνῳ αὕτη ἡ τιμὴ προσήκει, ἧς καὶ φύσει ἔλαχεν· ἡμῖν δὲ ταύτης μεταδίδωσι δωρεὰν, καθόσον ἐκείνου μέλη ἐσμέν.

Μ. Ἔγωγε. καὶ δὴ καὶ διὰ ταύτην κοινωνίαν ἐστιν οὗ πρωτότοκος ἐν τοῖς ἀδελφοῖς πολλοῖς καλεῖται.

Δ. Πῶς δὲ Κύριον ἡμέτερον νοεῖς αὐτὸν ὄντα;

Μ. Καθόσον ὑπὸ τοῦ πατρὸς κατεστάθη ὅπως ἡμῶν κρατῇ καὶ κυριεύῃ, τὴν τε αὐτοῦ

ἀρχὴν

ἀρχὴν καὶ βασιλείαν ἐν τῷ οὐρανῷ καὶ τῇ γῇ διέπῃ, ἔτι δὲ ὅπως τὴν ἐκκλησίαν ἅμα καὶ τῶν πιστῶν προστάτης καὶ ἡγεμὼν ὑπάρχῃ.

Δ. Τί δὲ τὸ ἑξῆς δηλοῖ;

Μ. Ἐκτίθεται τίνα τρόπον ὁ τοῦ Θεοῦ υἱὸς κεχάρισται ὑπὸ τοῦ πατρὸς, ἵνα ἡμέτερος ᾖ σωτὴρ, ἤγουν ὅτι παρεδέξατο τὴν ἡμετέραν ἀνθρωπίνην σάρκα, καὶ ὅσα τῇ ἡμετέρᾳ σωτηρίᾳ ἀναγκαῖα ἦν ἀπετέλεσεν ἅπαντα καὶ ἐνταῦθα καταλέγεται.

Δ. Τί δὲ αὗται αἱ δύο ῥήσεις δηλοῦσι, συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου;

Μ. Ὅτι ἐπλάσθη μὲν ἐν τῇ τῆς παρθένου Μαρίας γαστρὶ, ἐκ τῆς οὐσίας ἐκείνης, ὡς ἂν καὶ τὸ τοῦ Δαβὶδ σπέρμα εἴη, συμφώνως ταῖς προφητείαις· οὕτω δὲ ὅμως ἐπλάσθη ὥστε μὴ πρὸς γέννησιν δεηθῆναι τῆς τοῦ ἀνδρὸς μετὰ γυναικὸς συνουσίας, ἀλλὰ τοῦτο θαυμαστῇ τινι καὶ ἀρρήτῳ τοῦ ἁγίου Πνεύματος γεγενῆσθαι δυνάμει.

Δ. Ἆρα

Δ. Ἆρα οὖν τὴν ἡμετέραν σάρκα ἐκεῖνον ἐνδύσασθαι ἀνάγκη ἦν;

Μ. Ναί. τὴν γὰρ τοῦ ἀνθρώπου ἁμαρτάδα, τὴν διὰ τοῦ ἀπιστῆσαι τῷ Θεῷ γενομένην, ἀκέσασθαι ἐν τῇ ἀνθρωπίνῃ φύσει ἐχρῆν, καὶ οὐκ ἂν ἄλλως ἡμέτερος μεσίτης εἰ υἱός τε ὤν, πρὸς τὸ ἡμᾶς Θεῷ τῷ πατρὶ διαλλάξαι.

Δ. Λέγεις οὖν ὅτι τὸν Ἰησοῦν Χριστὸν ἄνθρωπον γίνεσθαι ἔδει, ἵνα τὴν ἡμετέραν περικείμενος φύσιν, τὰ ἡμῖν καθήκοντα πρὸς τὴν τοῦ ἁμαρτήματος ἐπανόρθωσιν ἀντὶ ἡμῶν ἐπιτελέσῃ;

Μ. Πάνυ γε. πᾶν γὰρ ὃ ἐνδεῖ ἡμῖν, αὐτὸν ἡμῖν δεῖ χρῆσαι. τοῦτο δὲ οὐκ ἄλλως ἢ οὕτως ἐγεγόνει ἄν.

Δ. Διὰ τί δὴ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει τοῦτο πέπρακται, οὐχὶ δὲ κατὰ τὸ συνήθες καὶ φυσικὸν τῆς γεννήσεως ἔργον;

Μ. Ἐπειδὴ τὸ ἀνθρώπινον σπέρμα παντελῶς ἀφ' ἑαυτοῦ διεφθαρμένον ἐστί, τῇ υἱοῦ

τοῦ

τοῦ Θεοῦ ἡγιάσθη τὸ τοῦ ἀγίου πνεύματος ἔργον ἐν τῇ γενέσει ἐξ ἀρχῆς· ὅπως μὴ μολυσμόν τινα ἐντεῦθεν ἔχοι, ἀλλὰ τελειοτάτην καθαρότητα ἔχοι.

Δ. Ἐκ τούτων ἄρα μανθάνομεν, ὅτι ὁ τοὺς ἄλλους ἁγιάζειν μέλλων, παντάπασιν ἄσπιλός ἐστι, καὶ τῇ μητρώᾳ ἐγκαθειργμένος γαστρὶ, ἤδη τῷ Θεῷ καθιέρωτο, μηδὲν ἐκ τῆς τοῦ ἀνθρωπείου γένους διαφθορᾶς μόλυσμα ἐφελκυσάμενος.

Μ. Ἔμοιγε δοκεῖ.

§. 8. Δ. Τίνος δὲ ἕνεκα ἀπὸ τῆς γενέσεως εὐθὺς ἐπὶ τὸν θάνατον αὐτοῦ μεταβαίνεις, ὅλην τὴν ἐν μέσῳ περὶ τοῦ βίου αὐτοῦ ἱστορίαν παραλιπών;

Μ. Ὅτι περὶ οὐδενὸς ἄλλα ἐνταῦθα πρόκειται λέγειν ἢ ὅ, τι ἂν τοῦ τῆς ἀπολυτρώσεως ἡμῶν μυστηρίου ἐχόμενον ᾖ.

Δ. Τίνος δὲ χάριν οὐχ ἁπλῶς λέγεται ὅτι τέθνηκεν, ἀλλὰ καὶ τὸ τοῦ προστάτου ὄνομα προστίθησιν, ἐφ' οὗ ἀπέθανεν;

Μ. Οὐ

M. Οὐ μόνον δὴ ἐφ' ᾧ ταύτην πιστώσασθαι τινὶ ἱστορίαν, ἀλλὰ καὶ ἵνα εἰδῶμεν ὅτι θάνατον κατακριθεὶς θάνατον ὑπέμεινεν.

Δ. Ταῦτά μοι διευκρίνησον.

M. Ἀπέθανεν ὅπως τὴν ὀφειλομένην δίκην ἀναπίμπλαιτο, καὶ οὕτως ἡμᾶς αὐτῆς ἐξέλοιτο. ἐπειδὴ γὰρ τῇ τοῦ Θεοῦ κρίσει, ὑπόδικοι ἦμεν, ὅτι δὴ ἁμαρτωλοὶ ὄντες, ἠθέλησεν αὐτὸς ἀντὶ ἡμῶν, ἐπιγείου δικαστοῦ ἐν παρουσίᾳ, ὑπ' αὐτοῦ καταδικάζεσθαι, ὡς ἂν ὁ οὐράνιος κριτὴς ἡμῶν ἀποψηφίσηται.

Δ. Ἀλλὰ γὰρ ὁ Πιλάτος ἀνεύθυνον ἀποφαίνεται αὐτόν· οὐ καταδικάζει οὖν ὡς θανάτῳ ἔνοχον ὄντα.

M. Δύο γὰρ ἐνταῦθα σκοπεῖν· ἓν μὲν ὅτι ὑπὸ τοῦ κριτοῦ ἀθῷος ἐστὶ μαρτυρεῖται, ἵνα πᾶσι φανερὸν ᾖ ὅτι οὐχ ὑπὲρ τῶν ἰδίων πλημμελημάτων, ἀλλ' ὑπὲρ τῶν ἡμετέρων κόλασιν ὑπέχει· ἕτερον δέ, ὅτι καίτοι τοιοῦτος ἐστὶ ὑπὸ τοῦ δικαστοῦ μαρτυρηθείς, ὑπ' αὐτοῦ κατὰ τὸ πάτριον κατακρίνεται, ἵνα

γνῶμεν

χεσθαι μὲν ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν ἐγκλήματι ὑ-
πέστη, καὶ κατεκρίθη, ἵνα ἡμᾶς τῆς αἰτίας ἀφέλῃ.

Δ. Ὀρθῶς. ἁμαρτωλὸς γὰρ ὤν, οὐκ ἂν ἀξιόχρεως ἐγένετο διὰ τοῦ ἰδίου θανάτου τὰ ἡμέτερον ἀποδιδόναι ὀφλήματα. ὑμεῖς δὲ, ἵνα τὸν θάνατον καταλύσῃ, καὶ τῆς αὐτοῦ δυναστείας ἡμᾶς ἐλευθερώσῃ, ἀλλ' αὐτὸν μετὰ τῶν ἀδίκων ταχθῆναι.

M. Οὕτως νοῶ.

§. 9. Δ. Τί δέ; τὸ σταυρωθῆναι αὐτὸν, μᾶλλόν τι ὠφελεῖ ἡμᾶς ἤπερ εἰ ἄλλό τι θανάτου εἶδος ὑπέμεινε;

M. Μάλιστα. Ὥσπερ καὶ ὁ ἀπόστολος ἡμᾶς διδάσκει, λέγων αὐτὸν τὸν διὰ σταυροῦ καταδέξασθαι θάνατον, καὶ τῷ ξύλῳ προσηλωθῆναι, ὡς ἂν κατάραν, ἥνπερ ἡμεῖς ὑποκείμενοι ἦμεν, ἀφ' ἡμῶν μετενέγκας εἰς ἑαυτὸν ἀναδέχοιτο, καὶ ταύτην διὰ τοιούτου θανάτου εἴδους ὃ παρὰ Θεῷ ἐπικατάρατον ἦν, λύοι.

Δ. Πῶς φής; οὐχὶ τοῦτό ἐστι τὸν Θεοῦ υἱὸν

κατα-

τοισχύειν, τὸ λέγειν αὐτὸν ἀρᾶς ἔνοχον γεγενέναι, καὶ ταῦτα παρὰ Θεῷ;

M. Οὐδαμῶς. ἀναδεξάμενος γὰρ τὴν κατάραν, κατέλυσεν αὐτὴν τῇ ἑαυτοῦ δυνάμει· οὐδὲ ἐμπόδιον αὐτὴ ἐγένετο τοῦ μὴ εὐλογητὸν αὐτὸν ὄντα διατελεῖν, ὅπως τῆς αὐτοῦ εὐλογίας ἡμᾶς ἀναπληροῖ.

Δ. Διήγησαι τὰ ἑξῆς.

M. Ἐπειδὴ ὁ θάνατος τοῖς ἀνθρώποις ἐτέτακτο τῶν ἀδικημάτων ἐπιτίμιον, τοῦτον ὑπέμεινεν ὁ Χριστὸς ὑπομείνας δὲ, κρείττων αὐτοῦ γέγονε· καὶ ἵνα φανερὸν ἡμῖν ποιήσῃ ὅτι ἀληθὴς καὶ οὐ προσποιητὸς ὁ θάνατος αὐτοῦ ἦν, τάφῳ παραδοθῆναι, τῶν ἄλλων ἀνθρώπων δίκην ἠθέλησε.

Δ. Ἀλλὰ γὰρ αὕτη ἡ νίκη οὐδενὸς ἀγαθοῦ πρόξενος δοκεῖ γεγονέναι, ἐπεὶ οὐδὲν ἧττον ἢ πρότερον τὸ ἀνθρώπινον γένος θανάτῳ ὑπόδικον ὂν διατελεῖ.

M. Οὐ κωλύει τοῦτο ἐκ ταύτης ὠφελεῖσθαι ἡμᾶς· ὁ γὰρ νῦν τῶν πιστῶν θάνατος

-τος οὐδὲν ἄλλο ἐστὶν ἢ μετάβασις εἰς ἀμείνω βίον.

Δ. Τούτοις οὖν ἀκόλουθόν ἐστιν ὅτι οὐκέτι -λεῖ τὸν θάνατον ἐν ὀρρωδίᾳ ἔχειν, ὡς φοβερὸν ὄντα ἀλλ' ἀκολουθητέον προθύμως τῷ ἡγεμόνι ἡμῶν Ἰησοῦ Χριστῷ· ὃς καθάπερ διὰ τοῦ θανάτου οὐκ ἀπώλετο, οὕτως οὐδὲ ἡμᾶς περιόψεται ἀπολλυμένους.

Μ. Οὕτω ποιητέον δῆτα.

§. 10. Δ. Τί δὲ βούλεταί σοι τὸ περὶ τῆς -ἰς ᾅδου καταβάσεως αὐτοῦ ἐπιφερόμενον;

Μ. Ὅτι τὸν κατὰ φύσιν θάνατον οὐχ ὑπέμεινε μόνον, ὅς ἐστι τῆς ψυχῆς ἀπὸ τοῦ σώματος λύσις καὶ χωρισμὸς ἀλλὰ καὶ ὅτι ἐν αὐτῷ ἡ ἐκείνου ψυχὴ ἀμηχανίᾳ συνείχετο καὶ χαλεπαῖς ἀλγηδόσι κατεπονεῖτο, ἃς ὁ ἅγιος Πέτρος τοῦ θανάτου ὠδῖνας ὀνομάζει.

Δ. Διὰ τί δὲ καὶ πῶς τοῦτο γέγονεν;

Μ. Ἐπειδὴ τῷ τοῦ Θεοῦ δικαστηρίῳ -προσιὼν τὸ τῶν ἁμαρτωλῶν χρέος ἐκτίσων, -λει τὴν αὐτοῦ ψυχὴν μεγίστῃ ἀπορίᾳ κα-

λέγεσθαι, καὶ μαλίστα τῆς δυνάμεως χωρίζεσθαι, ὡς τοῦ Θεοῦ ἀμελοῦντος αὐτοῦ, μᾶλλον δὲ καὶ αὐτῷ ὀργιζομένου· οὗ τοι γοῦν ἀλύων ἀνεβόησε, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;

Δ. Ἆρα οὖν ὁ Θεὸς ἐκείνῳ ἐγκαταλέλοιπεν;

Μ. Οὐδαμῶς· ἀλλ' ἔδει ὅμως τοσούτοις περιβάλλεσθαι κακοῖς, ὡς ἂν τὸ ἄνωθεν ὑπὸ τοῦ Ἠσαΐου προῤῥηθὲν πληρωθείη, τὸ δηλαδὴ τραυματισθῆναι αὐτὸν ὑπὸ τοῦ πατρὸς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰς ἡμετέρας ἀνομίας βαστάσαι.

Δ. Πῶς δέ, Θεὸς ἄν, οὕτως ἀῤῥώστει ὡς ὑπὸ Θεοῦ περιορώμενος καὶ ἀμελούμενος;

Μ. Δεῖ δὴ ἐννοεῖν ὅτι καθόσον μὲν ἄνθρωπος ἦν, ἅμα δὲ καὶ ἀνθρωπίνοις πάθεσιν ἔνοχος, τοιαύτη ἀνάγκη αὐτὸν ἐβιάζετο, οἱονεὶ ἀποκρυπτομένης ἐν τῷ μεταξὺ τῆς αὐτοῦ θειότητος, ἤγουν τὴν ἑαυτῆς δύναμιν οὐ φανερούσης.

Δ. Πῶς δὲ πάλιν οἷόν τε ἦν τὸν Χριστὸν τὸν κόσμου σωτῆρα ὑπάρχοντα, τοιαύτῃ κατακρίσει καὶ ἀρᾷ ἔνοχον εἶναι;

Μ. Οὐχ

Μ. Οὐχ οὕτω καταφρονεῖν ἔστιν ἀεὶ κατά-
κριτος μένειν. καὶ γὰρ καίτοι ἀγανακτῶν τὰ ἀδικήμα-
των αὐτοῦ, ὡς εἰρήκαμεν, οὐκ ἀπηγόρευσεν ὅ-
μως τὸ ἀπὸ ἀδημονίας, μᾶλλον δὲ τῇ τοῦ Θεοῦ
δυνάμει ἐπολέμησεν οὕτως ὥστε αὐτὴν κα-
ταπολεμῆσαι.

Δ. Ἐκ τούτου οὖν καταφορᾷ μὲν πόσῳ ἡ λύ-
πη καὶ ἀθυμία ἦν ἐν τῇ συνειδήσει οἷς ἔχουσιν οἱ
ἁμαρτωλοὶ τῶν ἀνθρώπων, οὓς ὀργιζόμενος ὁ
Θεὸς δίκας εἰσπράττεται, διαφέρει ἐκείνης
ἧς ᾔσθετο αὐτός. τὸ γὰρ ἐν αὐτῷ παρερχόμενον
γεγονός, ἐκείνοις διηνεκές ἐστι καὶ ὃ αὐτὸν κέν-
τρου τινὸς δίκην ἔνυξε μόνον, ἐκείνοις ὥσπερ τις
θανατηφόρος μάχαιρά ἐστι, πρὸς τὸ τῇ ἐκεί-
νων καρδίᾳ (ὡς ἂν εἴποι τις) καιρίαν πληγὴν
ἐπιφέρειν.

Μ. Ἀληθῆ ταῦτα λέγεις. ὁ γὰρ Ἰησοῦς
Χριστὸς ἐπὶ τῷ Θεῷ ἐλπίδας ἔχων οὐκ ἐ-
παύσατο, καίτοι σφόδρα ἀδημονῶν καὶ σφα-
δάζων· οἱ δὲ ἁμαρτωλοί, ὧν καταδικάζει ὁ
Θεός, τῆς αὐτοῦ εὐνοίας ἀπεγνωκότες, μονο-

νυχεὶ κατ' αὐτοῦ φρυαττόμενοι καὶ βλασφημοῦντες φανεροί εἰσι.

§. 11. Δ. Οὐκοῦν ἐκ τούτων καταμαθεῖν ἔστι τί ἐκ τοῦ θανάτου τοῦ Χριστοῦ ὄφελος τοῖς πιστοῖς περιγίνεται;

Μ. Μάλιστα· καὶ πρῶτον μὲν ὁρῶμεν ὅτι θυσία ἐστὶ δι' ἧς ἐκεῖνος τὰς τοῖς ἡμετέροις ἁμαρτήμασιν ὀφειλομένας δίκας ἀπέτισε, τήν τε αὐτοῦ ὀργὴν κατεπράϋνε· καὶ ἡμᾶς αὐτῷ κατήλλαξεν· εἶτα δὲ καὶ ὅτι τὸ ἐκείνου αἷμα λουτρόν ἐστι τὸ πᾶσαν τὴν ἐν ταῖς ἡμετέραις ψυχαῖς κηλῖδα ἀποκαθαῖρον. καὶ τέλος δὴ τὰς ἡμετέρας ἁμαρτίας διὰ τοῦ θανάτου ἐκείνου λήθῃ παραδοθείσας, ὥστε μηκέτι εἰς Θεοῦ ὄψιν ἐλθεῖν, καὶ τὸ καθ' ἡμῶν χειρόγραφον ἐξηλειμμένον γινώσκομεν.

Δ. Ἆρά γε οὐδὲν ἄλλο ἀγαθὸν ἀπολαυόμεθα τοῦδε;

Μ. Πάνυ μὲν οὖν. εἰ γὰρ ἀληθῆ τοῦ Χριστοῦ μέλη ἐσμὲν, τῇ αὐτοῦ εὐεργεσίᾳ ὁ ἡμέτερος παλαιὸς ἄνθρωπος σταυροῦται, καὶ τὸ τοῦ

ἁμαρ-

ἁμαρτήματος σῶμα ἀφανίζεται, ἵνα μηκέτι κακαῖς τῆς σαρκὸς ἐπιθυμίαις δουλεύωμεν.

Δ. Μεταβαίνωμεν πρὸς τὰ ἑξῆς.

Μ. Τούτοις ἐπιφέρεται, Τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη. Ἐκ τούτου δὲ τὴν ἁμαρτίαν καὶ τὸν θάνατον δῆλός ἐστι νενικηκώς. τῇ γὰρ αὐτοῦ ἀναστάσει τὸν θάνατον κατέπιε, καὶ τὰ τοῦ διαβόλου δεσμὰ κατέῤῥηξε, τήν τε ἐκείνου δύναμιν ἅπασαν κατέλυσε καὶ ἠφάνισε.

Δ. Ποσαχῶς δὲ ὠφελούμεθα ταύτῃ τῇ ἀναστάσει;

Μ. Τριχῶς. πρῶτον μὲν γὰρ δι' ἐκείνης πάντως ἐδικαιώθημεν· εἶτα δὲ τὴν οἰκείου σώματος ἀνάστασιν ἐχέγγυον ἡμῖν ἔδωκε τῆς μελλούσης ἡμῖν γίνεσθαι ἀναστάσεως καὶ ἀθανασίας. τελευταῖον δέ, εἰ ἐκείνης ἀληθῶς μετέχομεν, ἤδη καὶ τὸ ἀπὸ τοῦδε εἰς καινόν τινα βίον ἀνιστάμεθα πως, ἵνα ὅσιον διάγοντες βίον, τὰ ἀρέσκοντα τῷ Θεῷ ποιῶμεν.

Δ. Προΐωμεν δή.

Μ. Εἰς τὸν οὐρανὸν ἀνέβη.

§. 12. Δ. Τί οὖν; οὕτως ἀνέβη ὥστε μηκέτι ἐπὶ τῆς γῆς εἶναι;

M. Ναί. αὐτὸν γὰρ πάντα τὰ ὑπὸ τοῦ πατρὸς προστεταγμένα, καὶ πᾶν ὅ, τι πρὸς τὴν ἡμετέραν σωτηρίαν ἀναγκαῖον ἦν τελέσαντα, οὐκέτι τῷ κόσμῳ ἐνδιατρίβειν ἔδει.

Δ. Πῶς δὲ ἡμᾶς ἡ ἀνάβασις αὕτη ὠφελεῖ;

M. Κατὰ δύο τρόπους. ἐπειδὴ γὰρ ὁ Ἰησοῦς Χριστὸς εἰς τὸν οὐρανὸν δι' ἡμᾶς ἀνέβη, ὥσπερ δήπουθεν τῇ ἡμετέρᾳ εὐνοίᾳ ἐκεῖθεν καταβεβήκει, δῆλον ὅτι προοδοποιεῖ ἡμῖν πρὸς τὴν ἐκεῖσε ἀνάβασιν· ὥστε καὶ ἀνεῳχθῆναι ἡμῖν ἤδη τὴν θύραν, ἥτις πρότερον διὰ τὰς ἡμετέρας ἁμαρτίας ἐκέκλειστο. πρὸς δὲ τούτοις, τῷ πατρὶ παρεδρεύει, κἀκεῖ ἡμῖν συνηγορῶν καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνων οὐ παύεται.

Δ. Ἀλλὰ γὰρ πότερον ἐξ ὅτου εἰς τὸν οὐρανὸν ἀνέβη ὁ Ἰησοῦς Χριστὸς, οὕτω τοῦ κόσμου ἀπεχώρησεν ὥστε μηκέτι ἡμῖν ἐπιδημεῖν;

M. Ἥκιστα· πᾶν γὰρ τοὐναντίον, ὑπέσχετο

ἡμῖν μέχρι τῆς συντελείας τοῦ αἰῶνος συνομι-λήσειν.

Δ. Ἆρα οὖν σωματικῇ τινὶ παρουσίᾳ ἡμῖν συνοικεῖ;

Μ. Μηδαμῶς· διαφέρουσι γὰρ τό, τε σῶμα αὐτοῦ τὸ εἰς τὸν οὐρανὸν ἀναληφθὲν καὶ ἡ δύναμις αὐτοῦ ἡ διὰ πάντων διήκουσα.

Δ. Τί δὲ ἡμῖν παραδηλοῖ τὸ αὐτὸν ἐκ δε-ξιῶν τοῦ πατρὸς καθέζεσθαι;

Μ. Ἐκ τούτων δηλοῦται ὅτι γῆς τε καὶ οὐ-ρανοῦ τοὺς οἴακας ἐπιτέτραπται, ἵνα πάντα διοικῇ.

Δ. Τί δέ σοι ἡ δεξιὰ καὶ τὸ καθέζεσθαι σημαίνουσι;

Μ. Λέγεται ταῦτα ἀπὸ μεταφορᾶς τῶν ἐπιγείων ἀρχόντων, οἳ τινὰς ἐκ δεξιῶν αὐτῶν καθίζειν εἰώθασιν, οὓς τοποτηρητὰς καθιστᾶ-σιν, ὡς παραχωρήσαντες αὐτοῖς τῆς ἑαυτῶν ἀρχῆς.

Δ. Οὐδὲν οὖν ἄλλο ἐννοεῖς ἢ τὸ ὑπὸ τοῦ ἁγίου Παύλου λεγόμενον, ὅτι δηλαδὴ

κεφαλὴ τῆς ἐκκλησίας καθεςάθη ὁ Χριςὸς, ὑπεράνω ὢν πάσης ἀρχῆς, καὶ ὄνομα λαβὼν τὸ ὑπὲρ πᾶν ὄνομα.

Μ. Ἔςι τάδε.

Δ. §. 13. Μεταβαίνωμεν ἐπὶ τὰ μετὰ ταῦτα.

Μ. Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. Τοῦτο δὲ δηλοῖ ὅτι ἐνώπιον πάντων ἐξ οὐρανοῦ καταβήσεται κρίσιν ποιήσασθαι μέλλων, ὡς πρότερον εἰς αὐτὸν ἐν ὄψει πάντων ἀνέβη.

Δ. Τῆς δὲ κρίσεως οὐ πρόσθεν τῆς συντελείας τοῦ κόσμου ποιεῖσθαι μελλούσης, πῶς φὴς ὅτι ἄλλοι μὲν τότε ζωοὶ ἔτι, ἄλλοι δὲ τεθνηκότες ἔσονται, εἴγε ἅπασιν ἀνθρώποις πέπρωται ἅπαξ ἀποθανεῖν;

Μ. Λύει τοῦτο τὸ ζήτημα ὁ ἅγιος Παῦλος, λέγων ὅτι ὅσοι ζωοὶ εὑρεθήσονται τότε, ἐν ἀτόμῳ ἀλλαγήσονται, ἵνα τὸ φθαρτὸν ἐκείνων ἐνδύσεται ἀφθαρσίαν.

Δ. Αὕτη οὖν ἡ μεταβολὴ κατὰ τὸν σὸν λό-

γον,

γρὸν, θανάτῳ ὁμοία μέλλει ἔσεσθαι, ὅτι τὴν προτέραν αὐτῆς φύσιν ἀφανίσει, ἵνα εἰς ἄλλην τινὰ καινὴν αὐτοὺς ἀνανεώσηται.

Μ. Οὕτω νοῶ.

Δ. Ἆρα γε φέρει παραμυθίαν τινὰ τὸ τὸν Ἰησοῦν Χριστὸν μέλλειν ἔρχεσθαί ποτε τὸν κόσμον κρινοῦντα;

Μ. Ναὶ, καὶ οὐκ ἐλαχίστην γε· οἴδαμεν γὰρ σαφῶς ὅτι ἐπὶ τῇ ἡμετέρᾳ ἐλεύσεται.

Δ. Οὐκοῦν ἡμῖν χρὴ ταύτην τὴν ἐσχάτην κρίσιν μέχρι καὶ ὀῤῥωδίας φοβερὰν εἶναι.

Μ. Οὐ γάρ· ἐπειδὴ ὁ δικαστὴς ᾧ παραστῆναι ἡμᾶς δεήσει, ἐκεῖνός ἐστιν ὁ συνήγορος ἡμῖν, καὶ ὁ ἡμῖν πανταχοῦ καὶ πάντοτε παραστήσεσθαι ἐπαγγειλάμενος.

Δ. Ἐπὶ τὸ τρίτον μέρος ἔλθωμεν.

Μ. §. 14. Ἐστι τοῦτο περὶ τῆς εἰς τὸ ἅγιον πνεῦμα πίστεως.

Δ. Τί δὲ αὕτη ἡμῖν συμβάλλεται;

Μ. Πρόκειται αὐτῇ διδάσκειν ἡμᾶς ὅτι ὃν τρόπον ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ ἐλυ-

τρώσαιτο καὶ ἔσωσεν ἡμᾶς, οὕτω καὶ τῆς ἀπολυτρώσεως ταύτης καὶ τῆς σωτηρίας ἀπόλαυσιν διὰ τοῦ ἁγίου πνεύματος χαρίζεται ἡμῖν.

Δ. Πῶς τοῦτο φής;

Μ. Ὅτι ὥσπερ τὸ Ἰησοῦ Χριστοῦ αἷμα λυτρόν ἐστιν ἡμέτερον, οὕτως ἀνάγκη τὸ ἅγιον Πνεῦμα ταῖς ἡμετέραις συνειδήσεσι περιῤῥαίνειν τούτῳ, εἴγε ἀπολύεσθαι καὶ ἀποκαθαίρεσθαι μέλλουσιν.

Δ. Τοῦτο σαφεστέρας ἐξηγήσεως δεῖται.

Μ. Ὁ νοῦς, τοιοῦτόν ἐστιν, ὅτι τὸ ἅγιον Πνεῦμα ταῖς ἡμετέραις καρδίαις ἐνοικοῦν ποιεῖ ἡμᾶς ἱκανοὺς τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δυνάμεως αἰσθάνεσθαι. ἡμᾶς γὰρ φωτίζει, ὥστε δύνασθαι τὰ ἐκείνου χαρίσματα καὶ εὐεργετήματα τῇ διανοίᾳ περιλαβεῖν, καὶ πείθει ἡμᾶς εἰς τὸ ταῦτα ἐπισφραγίζεσθαι καὶ ἐνσημαίνεσθαι ταῖς ἡμετέραις ψυχαῖς· ἀναγεννᾷ τε ἡμᾶς καὶ ἀνανεοῖ, ὥστε καινά τινα κτίσματα εἶναι· διὸ καὶ ὅσα ἐν Ἰησοῦ Χριστῷ ἡμῖν προσφέρεται δῶρα, ταῦτα τῇ τοῦ Πνεύματος δυνάμει δεχόμεθα.

§. 15. Δ.

§. 15. Δ. Προΐωμεν.

Μ. Τὸ τέταρτον ἐπιφέρεται μέρος, ἐν ὁμολογοῦμεν τὴν ἁγίαν ἐκκλησίαν καθολικὴν πιστεύειν.

Δ. Τίς δέ ἐστιν ἡ καθολικὴ ἐκκλησία;

Μ. Ὁ τῶν πιστῶν ὅμιλος, οἷς ὑπὸ τοῦ Θεοῦ ὁ αἰώνιος προώρισται καὶ προδιατέτακται βίος.

Δ. Ἆρά γε καὶ τοῦτο τὸ μέρος πιστεύειν ἀνάγκη;

Μ. Παντάπασι μὲν οὖν εἴγε μὴ τὸν τοῦ Ἰησοῦ Χριστοῦ θάνατον ἀνόνητον ποιεῖν βουλόμεθα, καὶ τὰ λοιπὰ περὶ ὧν εἰρήκαμεν ἐν οὐδενὶ λόγῳ τίθεσθαι. τείνει γὰρ καὶ ἀναφέρεται πάντα πρὸς τὸ ἐκκλησίαν ταύτην συνίστασθαι.

Δ. Ὁ νοῦς ἄρα τῶν ὑπό σου λεγομένων ἐστὶν, ὅτι μέχρι μὲν τοῦδε, περὶ τῆς ἀρχικῆς αἰτίας καὶ δὴ καὶ θεμελίου τῆς σωτηρίας ἡμῶν εἴρηται· ἐν οἷς ἐδήλωσας ὅτι ἡμεῖς τῷ Θεῷ διὰ τῆς ἀξίας καὶ μεσιτείας Ἰησοῦ Χριστοῦ κατηλλάγημεν, καὶ ταύτην τὴν εὐεργεσίαν ἡ τοῦ

ἁγίου

ἁγίου πνεύματος δύναμις ἡμῖν πιστουμένη δια[...]σίας τελεῖ· νυνὶ δὲ τὸ τούτων ἀποτέλεσμα λε[...]ται, εἰς μείζω βεβαίωσιν τῶν ῥηθέντων.

M. Ἔστιν οὕτω.

Δ. Διὰ τί δὲ ταύτην τὴν ἐκκλησία[ν] ἁγίαν ἀποκαλεῖς;

M. Ὅτι ὅσους ὁ Θεὸς ἐξελέξατο, τούτου[ς] δικαιοῖ, καὶ ἀποκαθαίρει εἰς τὸ ὅσιον καὶ καθαρὸ[ν] διάγειν βίον, ἵνα ἐν ἐκείνοις ἡ αὐτοῦ δόξα περι-λάμπῃ. τοῦτο δὲ αἰνίττεται ὁ Παῦλος ἐν οἷς δι-δάσκει ἡμᾶς ὅτι Χριστὸς τὴν αὐτοῦ ἐκκλησίαν ἀ-πολυτρώσας ἡγίασεν, ἵνα ἔνδοξος ᾖ καὶ ἄσπιλος.

Δ. Τί δὲ βούλεταί σοι τὸ καθολική;

M. Ἐντεῦθεν μανθάνομεν ὅτι ὥσπερ τῶν πιστῶν κεφαλὴ μία μόνον ἐστὶν, οὕτω καὶ πάντας εἰς ἓν σῶμα ἑνωθῆναι χρὴ, ἐφ᾽ ᾧ μίαν εἶναι μόνον ἐκκλησίαν τὴν δι᾽ ὅλης τῆς οἰκουμένης διεσπαρμένην, ἀλλ᾽ οὐ πλείους.

Δ. Τὸ δὲ ἑξῆς τὸ περὶ τῆς τῶν ἁγίων κοινωνίας τίνα δύναμιν ἔχει;

M. Τοῦτο προσετέθη ἵνα ἡ τ῀ τῆς ἐκκλη-

σίας

σίας μελῶν ἕνωσις καὶ συνάφεια φανερώτερα γένηται), ἅμα δὲ καὶ τοῦτο δηλοῦται, ὅτι πάντων ἀγαθῶν ὧν ὁ Θεὸς τῇ ἐκκλησίᾳ χαρίζεται, κοινῇ πάντες συναπολαύουσιν οἱ πιστοὶ, οἷα δὴ κοινωνίᾳ τινὶ ἀλλήλοις συνημμένοι ὄντες.

§. 16. Δ. Ἆρα τελεία ἐστὶν ἤδη αὕτη ἡ ἁγιότης ἣν τῇ ἐκκλησίᾳ προσάπτεις;

M. Οὐ δῆτα· οὐδέ γε ἔσται ὅσον ἂν χρόνον ἐν τῷδε τῷ κόσμῳ στρατεύηται· ἀλλ' ἀσθενὴς καὶ ἀτελὴς νῦν τε ἐστὶ, καὶ ἔσται μέχρις οὗ ἂν τῇ αὐτῆς κεφαλῇ παντελῶς ἑνωθῇ, ἤτοι τῷ Ἰησοῦ Χριστῷ, ὑφ' οὗ καὶ ἁγιάζεται.

Δ. Πότερον δὲ ἐνδέχεται ταύτην τὴν ἐκκλησίαν ἄλλως ἢ διὰ πίστεως γινώσκειν;

M. Ἔστι μὲν τις καὶ ὁρατὴ ἐκκλησία τοῦ Θεοῦ, καὶ γνωστὴ δι' ὧν ἔδωκε γνωρισμάτων καὶ χαρακτήρων· ἀλλ' ἐνταῦθα λόγος ἐστὶν ἰδίᾳ περὶ τῆς ἐκκλησίας (ἤγουν συναγωγῆς) τῶν ὑπὸ τοῦ Θεοῦ εἰς σωτηρίαν ἀπορρήτῳ τινὶ ἐκλογῇ εἰσποιηθέντων, αὕτη δὲ οὐδὲ ὁρᾶται ἀεὶ, οὐδὲ ἐκ γνωρισμάτων διαγινώσκεται.

Δ. Τί

Δ. Τί τὸ μετὰ ταῦτα;

Μ. Πιστεύω τὴν τῶν ἁμαρτιῶν ἄφεσιν.

Δ. Τί δὲ βούλεταί σοι τὸ τῆς ἀφέσεως ὄνομα;

Μ. Ὅτι ὁ Θεὸς προῖκα καὶ ἀπὸ τῆς ἰδίας ἀγαθότητος τοῖς πιστοῖς συγγνώμην τῶν παραπτωμάτων ἔχει, ὅπως μὴ αἰτίαν ἢ δίκην ὑπέχωσι.

Δ. Ἐκ τούτων ἄρα δῆλον ὅτι οὐ τῆς τῶν ἁμαρτημάτων συγγνώμης τυγχάνομεν παρὰ Θεοῦ, ὡς ὑπὲρ ἐκείνων ἀποτίσαντες.

Μ. Ἀληθῆ. μόνος γὰρ ὁ Χριστὸς τὸ ἡμῶν χρέος ἀποδέδωκεν, ὅτε ἀντὶ ἡμῶν τιμωρίαν ὑπέμεινε. τὸ δὲ ἡμέτερον, οὐκ ἂν οἷοί τε εἴημεν οὐδ᾽ ὁτιοῦν εἰς ἀπότισιν δοῦναι, ἀλλὰ δεῖ τῇ τοῦ Θεοῦ ἐλευθεριότητι πολλὴν χάριν ἔχειν, δι᾽ ἧς μόνης τούτου τοῦ εὐεργετήματος προῖκα τυγχάνομεν.

Δ. Διὰ τί δὲ τὴν ἄφεσιν ἁμαρτιῶν τῷ περὶ τῆς ἐκκλησίας λόγῳ ἐπισυνάπτεις;

Μ. Ὅτι οὐδενὶ ἀφίενται τὰ ἁμαρτήματα

τα αὐτοῦ ἐὰν μὴ πρότερον τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ συναφθῇ, καὶ ἑνωθεὶς τῷ τοῦ Χριστοῦ σώματι διατελῇ, κἂν ταύτῃ τοῦ αὐτοῦ μέλος τῆς ἐκκλησίας ἀληθινὸν εἶναι μαρτύριον παρέχῃ.

Δ. Τοιγαροῦν, κατὰ τὸν σὸν λόγον, ἔξω τῆς ἐκκλησίας οὐδὲν πλὴν κατακρίσεως τε καὶ θανάτου ἐστί.

Μ. Οὕτως. ἅπασι γὰρ οἳ τοῦ σώματος τοῦ Χριστοῦ ἀφίστανται, καὶ στασιασμοῖς τὴν αὐτῆς ἕνωσιν διαχωρίζουσιν, οὐδεμία σωτηρίας καταλείπεται ἐλπὶς, ὅσον γε ἂν χρόνον ταύτῃ τῇ διχοστασίᾳ ἐγκαταμένωσι.

§. 17. Δ. Λέγε τὸ λειπόμενον.

Μ. Πιστεύω σαρκὸς ἀνάστασιν, καὶ ζωὴν αἰώνιον.

Δ. Τίνος χάριν τοῦτο τὸ κεφάλαιον προσετέθη;

Μ. Ἵνα διδασκώμεθα ὅτι ἡ εὐδαιμονία ἡμῶν ἥκιστα ἐν τῇ γῇ κεῖται. ὅπερ καὶ αὐτὸ δυοῖν ἕνεκα ἡμᾶς εἰδέναι συμφέρει. πρῶτον μὲν

ἵνα

ἵνα μάθωμεν ὅτι χρὴ ἡμᾶς οἱονεὶ μετοίκους τοῦτον τὸν κόσμον οἰκεῖν, ἵνα περὶ τοῦ ἀνασκευάζεσθαι καθ᾽ ἑκάστην ἡμέραν διανοώμεθα, καὶ τὰς ἡμετέρας καρδίας ταῖς γηΐναις φροντίσιν ἐμπλέκεσθαι μὴ ἐῶμεν, εἶτα δὲ καὶ ὅπως μὴ ἀπελπίζωμεν, καίτοι ἀφανοῦς ὄντος τοῦ καρποῦ τῆς χάριτος, ἧσπερ ἡμῖν ὁ Κύριος ἐν Ἰησοῦ Χριστῷ ἐχαρίσατο, ἀλλὰ προσδοκῶντες διατελῶμεν μέχρι τοῦ τῆς ἀποκαλύψεως καιροῦ.

Δ. Τίς δὲ ταύτης τῆς ἀναστάσεως ἔσται τάξις;

Μ. Οἱ μὲν ἤδη μεταλλάξαντες τὸν βίον, τὰ ἑαυτῶν ἀναλήψονται σώματα, τὰ αὐτὰ ἅπερ καὶ πρότερον πεφυρηκότες ἦσαν, ἀλλοίωσιν δέ τινα κατὰ τὴν ποιότητα παθόντα· ἐπεὶ οὐκέτι θνητά, οὐδὲ φθαρτὰ ἔσται· τοὺς δὲ περιγεννησομένους τότε, θαυμαστῶς πως ὁ Θεὸς αἰφνιδίᾳ μεταβολῇ ἀναστήσει.

Δ. Ἆρα ἡ ἀνάστασις αὕτη τῶν τε ἀσεβῶν καὶ τῶν εὐσεβῶν κοινὴ ἔσται;

Μ. Παντάπασι μὲν οὖν. ἀλλ᾽ οὐκ ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ ἑκάτεροι ἀναστήσονται· οἱ μὲν γὰρ εἰς σωτηρίας τε καὶ χαρᾶς ἀπόλαυσιν, οἱ δὲ ἵνα θάνατον κατακριθέντες, ἐσχάταις τιμωρίαις παραδιδῶνται.

§. 18. Δ. Διὰ τί οὖν τῆς αἰωνίου ζωῆς μόνον ἐμνήσθης ἐνταῦθα, οὐχ ὁμοίως δὲ καὶ τοῦ ᾅδου;

Μ. Ἐπειδὴ ἐν ταύτῃ τῇ ἐξομολογήσει τῆς πίστεως οὐδὲν ἄλλο ἢ τὰ τοῖς πιστοῖς παρηγορίαν φέροντα περιέχεσθαι διηγήσασθαι, διὰ τοῦτο τὰ ἆθλα μόνον ἅπερ ὁ Θεὸς τοῖς λατρεύουσιν αὐτῷ ἑτοιμάζει, ἐνταῦθα ἐντιθέμεθα, καὶ οὐδεμίαν τῆς τῶν ἀδίκων τιμωρίας μνείαν ποιούμεθα, ἅτε δὴ τῆς αὐτοῦ βασιλείας ἐξορισθέντων, ὡς ἴσμεν.

Δ. Εἰδόσι δὲ ἡμῖν ἐπὶ τίνι θεμελίῳ ἐρήρεισται καὶ βέβηκεν ἡ πίστις, οὐχὶ ῥᾴδιον ἔσται καθορᾶν τίς ἡ ἀληθινὴ πίστις;

Μ. Κομιδῇ. καὶ οὔπω γέ τις αὐτὴν ὁρισάμενος οὐκ ἂν ἁμάρτοι. Πίστις, ἐστὶ σαφὴς καὶ

βε-

βεβαία γνῶσις τῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς εὐνοίας, ὥσπερ ἐν τῷ αὐτοῦ εὐαγγελίῳ πατὴρ ἡμῶν καὶ σωτὴρ διὰ Χριστοῦ γεννήσεσθαι ἐπαγγέλλεται.

Δ. Πότερον δὲ ἡμεῖς οἷοί τε ἐσμὲν ἀφ' ἑαυτῶν ταύτης τυγχάνειν, ἢ ἄρα Θεός ἐστιν ὁ ταύτην χαριζόμενος;

Μ. Διδάσκει ἡμᾶς ἡ ἱερὰ γραφὴ ὅτι ἡ πίστις τῶν ἐξαιρέτων τοῦ ἁγίου πνεύματος δώρων ἐστὶ, καὶ ἡ πεῖρα δὲ μαρτυρεῖ.

Δ. Τίνα ποτὲ πεῖραν εἴρηκας;

Μ. Ὁ γὰρ ἡμέτερος νοῦς ἀμαθέστερος καὶ παχύτερός ἐστιν ἢ ὥστε τὴν Θεοῦ σοφίαν τὴν πνευματικὴν οὕτως περιλαβεῖν, ἢ διὰ πίστεως ἡμῖν ἀποκαλύπτεται. ἔτι δὲ ἡ ψυχὴ ἡμῶν (ἅτε δὴ πρὸς ἀπιστίαν εὐκατάφορος οὖσα, καὶ πρὸς τὸ ἑαυτῇ ἤ τινι ἄλλῳ τῶν τοῦ Θεοῦ κτισμάτων πεποιθέναι) οὐ δύναται ἀφ' ἑαυτῆς καὶ αὐτοπροαιρέτως ἐπαναπαύεσθαι τῷ Θεῷ· ἀλλὰ τὸ ἅγιον Πνεῦμα ἡμᾶς φωτίζει, ἐφ' ᾧ δεκτικοὺς ποιεῖν ἐκείνων ἅπερ οὐκ ἂν

ἄλλως

ἄλλως καταληπτὰ ἐγένετο. πρὸς δὲ τούτοις βεβαίαν ἡμῖν πεποίθησιν ἐμποιεῖ, τὰς περὶ τῆς σωτηρίας ὑποσχέσεις ταῖς ἡμετέραις καρδίαις ἐνσημαινόμενον.

Δ. Τί δὲ ἡμῖν ὄφελος ἐκ τοῦ πίστιν ἔχειν, ἐξ οὗ ἅπαξ ταύτης ἐτύχομεν;

Μ. Αὕτη ἡμᾶς δικαιοῖ παρὰ τῷ Θεῷ, καὶ διὰ τῆσδε τῆς δικαιοσύνης τὴν τῆς ἀϊδίου ζωῆς κληρονομίαν ἡμῖν περιποιεῖται.

Δ. Τί οὖν; οὐ δικαιοῦνται ἄνθρωποι διὰ τῶν ἀγαθῶν ἔργων, ὅταν δι' ὁσιότητος βίου εὐδοκιμεῖν παρὰ τῷ Θεῷ σπουδάζωσι;

Μ. Εἰ μὲν δυνατὸν ἦν εὑρεῖν τινὰ οὕτω τέλειον ὄντα ὥστε πάντη πάντως κατὰ τὸν τοῦ Θεοῦ νόμον ζῆν, εὐλόγως γε τοιοῦτος δίκαιος ὀνομάζετο ἄν· νῦν δὲ ἐπειδὴ οὐδὲν ἄλλο ἢ ἁμαρτωλοί ἐσμεν, καὶ πολλαχῶς ἐναντίον τοῦ Θεοῦ ὑπεύθυνοι, ἀλλαχοῦ ἡμᾶς ἀξίωμά τι δεῖ ζητεῖν ἢ παρ' ἑαυτοῖς ὃ περιθέμενοι, οἰκειωθῆναι τῷ Θεῷ δυναίμεθ' ἄν.

§. 19. Δ. Πότερον δὲ οὕτως ἀποφαυλίζει ὁ

Θεὸς

Θεὸς τὰ ἡμέτερα ἔργα καὶ οὐδενὸς ἄξια λογίζεται, ὥστε μηδὲν αὐτὰ συμβάλλεσθαι πρὸς τὸ ἔλεον καὶ εὐμενῆ αὐτὸν ἡμῖν καταστῆσαι;

Μ. Πρῶτον, μὲν ἃ πράττειν πεφύκαμεν ἔργα, κακά ἐστι πάντα, διὸ καὶ ἀρέσκειν αὐτῷ οὐ δύναται, ἀλλ' ὑπ' αὐτοῦ ἀποδοκιμάζεται.

Δ. Λέγεις οὖν ἡμᾶς, πρὶν ἀναγεννηθῆναι καὶ ἀνακτισθῆναι τῷ τοῦ Θεοῦ πνεύματι, οὐδὲν ἄλλο ἢ ἁμαρτάνειν δύνασθαι· ὥσπερ δὴ τὰ σαπρὰ τῶν δένδρων πᾶσα ἀνάγκη σαπροὺς καρποὺς φύειν.

Μ. Μάλιστα· τοῖς γὰρ ἡμετέροις ἔργοις εἰ καὶ εὐπρόσωπός τις ἀγαθότης περίκειται, κακά ἐστιν ὅμως, ἅτε δὴ τῆς καρδίας ἡμῶν κακῆς οὔσης, ἣν μάλιστα ὁ Θεὸς ἐξετάζει.

Δ. Ἐκ τούτου δὴ συνάγεις ὅτι οὐχ οἷόν τε ἡμῖν ἐστι διά τινος τῶν ἰδίων ἔργων ἀξίας προσάγεσθαι τὸν Θεὸν ἐς τὸ ἐκεῖνον εὖ ποιεῖν ἡμᾶς· πᾶν δὲ τοὐναντίον, ὅτι πᾶσιν οἷς ποιοῦμεν αὐτὸν παροξύνομεν καὶ τὴν παρ' αὐτοῦ κατάκρισιν ἐγκαλούμεθα.

Μ. Πάνυ μὲν οὖν· διὸ καὶ λέγω ὅτι ἥκιστα

πρὸς τὰ ἡμέτερα ἔργα ἀφορῶν, μόνον δὲ τῷ συγγνώμων καὶ πανάγαθος πεφυκέναι, ἡμᾶς διὰ τὸν Ἰησοῦν Χριστὸν φιλεῖ, καὶ τὴν αὐτοῦ δικαιοσύνην ἡμῖν ἀνατιθεὶς, τὰ ἡμέτερα ἁμαρτήματα ἡμῖν ἀφίησι.

Δ. Πῶς οὖν ἡμᾶς τῇ πίστει δικαιοῦσθαι λέγεις;

Μ. Ὅτι διὰ τοῦ πεποιθέναι καὶ ἐλπίδας ἔχειν ἐπὶ ταῖς ἐν τῷ εὐαγγελίῳ ἐπαγγελίαις, ταύτην πως τὴν δικαιοσύνην κατακτώμεθα.

Δ. Νομίζεις οὖν ὅτι ὥσπερ ὁ Θεὸς ἡμῖν διὰ τοῦ εὐαγγελίου ταύτην προσφέρει, οὕτω καὶ προσενεχθεῖσαν, διὰ τῆς πίστεως ἡμᾶς ἀποδέχεσθαι προσήκει.

Μ. Ναί.

§. 20. Δ. Ἐπειδὴ δὲ ἅπαξ ὁ Θεὸς ἡμᾶς φιλικῶς κατελέξατο, ὅσα ὑπὸ τοῦ ἁγίου Πνεύματος ἀγόμενοι πράττομεν, ἆρ' οὐκ ἐκείνῳ ἀρέσκει;

Μ. Πάνυ μὲν οὖν, καθόσον γε ἀποδοχῆς

ὑπ'

ὑπ' αὐτοῦ ἀξιοῦται, καίτοιγε οὐκ ἄξια ταύτης ὑπάρχοντα.

Δ. Πῶς τοῦτο φής; οὐκ ἀποδοχῆς ἄξια δι' ἑαυτῶν ἐστιν, ἅτε δὴ ἀπὸ τοῦ ἁγίου πνεύματος ἀπορρέοντα;

Μ. Οὐδαμῶς. ἀεὶ γάρ τινα ἐκ τῆς ἀκαθαρσίας τῆς ἡμετέρας σαρκὸς μολυσμὸν ἕλκει.

Δ. Τίς οὖν μηχανὴ τοῦ κεχαρισμένα τῷ Θεῷ πράττειν;

Μ. Ἐὰν μετὰ πίστεως τὰ ἡμῶν ἔργα πράττηται, τοῦτ' ἔστιν, ἐὰν ὁ ἐκεῖνα ποιῶν πεπεισμένος ᾖ ὅτι ὁ Θεὸς οὐκ ἀκριβοδίκαιος, οὐδὲ ἀπότομος ἐν τῇ ἐκείνων ἐξετάσει ἔσται, ἀλλὰ τὸ ἐνδεὲς καὶ ἀτελὲς τῶν ἡμετέρων ἔργων τῇ τοῦ Χριστοῦ τελειότητι ἀποπληροῖ, καὶ πᾶν ὅσον ἐν ἐκείνοις ἀκάθαρτον τῇ ἐκείνου καθαρότητι περικαλύπτων, ἐν τάξει τελείαν αὐτὰ ποιήσεται.

Δ. Ἆρα οὖν ἐκ τῶν εἰρημένων συλλογίσασθαι ἔστιν ὅτι ὁ Χριστιανὸς τοῖς ἑαυτοῦ ἔργοις δικαιοῦται μετὰ τὸ ὑπὸ τοῦ Θεοῦ κληθῆναι,

ἢ

ἢ ὅτι τ' ἐκείνων ἀξίαν τινὰ τοῦ Θεοῦ ἀγάπην περιποιεῖται αὐτῷ, ἧς παρακολούθημα τὸ σωτηρίας τυγχάνειν;

M. Οὐ δῆτα· τοὐναντίον γὰρ γέγραπται, ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἐνώπιον αὐτοῦ δικαιωθήσεται. διὰ δὲ παραιτεῖσθαι δεῖ τὸ ἐκείνων τῶν βεβιωμένων ταῖς εὐθύναις εἰσπράττεσθαι ἡμᾶς.

Δ. Ἀλλ' ὅμως τὰ ἀγαθὰ τῶν πιστῶν ἔργα ἀνωφελῆ αὐτοῖς εἶναι οὐχ ἡγησόμεθα.

M. Οὐδαμῶς· οὐ γὰρ μάτην ὁ Θεὸς μισθὸν τοῖς ταῦτα ποιήσασιν, οὐ μόνον ἐν τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μετὰ τοῦτον βίῳ ἀποδώσειν ὑπέσχετο. ἀλλ' οὗτος ὁ μισθὸς δῶρόν ἐστιν αὐτοῦ, τῆς αὐτοῦ ἀγάπης, ὥσπερ πηγῆς, ἀπορρέων. πρῶτον γὰρ ἡμᾶς παῖδας ποιεῖται, εἶτα δὲ τὰ ἡμέτερα πλημμελήματα ἐξαλεῖψαι, ὥσπερεὶ λήθῃ παραδοῦναι αὐτὰ βουλόμενος, τὰ ἀφ' ἡμῶν ἐκ τούτου χάριτος ἀξιοῖ.

Δ. Τί δαί; ἡ δικαιοσύνη αὕτη ἡ πίστει ἧς ὁ λόγος, μόνη ἀπὸ τῶν ἀγαθῶν ἔργων ἡμᾶς χω-

εἴζο-

δέξασθαι δύναται; ὥστε ἐκεῖνον ᾧ ἔνεστιν αὐτὴ, ἄμοιρον τούτων εἶναι;

M. Ἥκιστά γε· ἐπεὶ γὰρ παραδεχόμεθα διὰ πίστεως τὸν Χριστὸν οἷον ἡμῖν ἑαυτὸν προσφέρει, αὐτὸς οὐ μόνον τοῦ θανάτου ἀπαλλάξειν ἡμᾶς καὶ τῷ Θεῷ πάλιν καταλλάξειν, ἀλλὰ καὶ ἡμᾶς ἀναγεννήσειν διὰ τοῦ Πνεύματος αὐτοῦ, καὶ εἰς τινα ἄλλον ἀνανεώσεσθαι βίον ὑπισχνεῖται, ταῦτα συνάπτεσθαι ἀνάγκη, ἵνα μὴ τὸν Χριστὸν ἀφ' ἑαυτοῦ διασπῶμεν.

Δ. Ἐκ τούτων δῆλον καταμαθεῖν ἐστιν ὅτι ἡ πίστις ῥίζα τῶν καλῶν ἔργων ἐστὶν, οὐχὶ δὲ αὐτὴ ἀμέλειαν ἐκείνων ἡμῖν ἐμποιεῖ, οὐδὲ πολλοῦ δεῖ.

M. Καλῶς γε εἴρηκας. διὸ καὶ πᾶσα ἡ τοῦ εὐαγγελίου διδαχὴ δυσὶ τούτοις περιέχεται, πίστει καὶ μετανοίᾳ.

§. 21. Δ. Τί ἐστι μετάνοια;

M. Τὸ μισεῖν μὲν τὸ κακὸν, ποθεῖν δὲ τὸ ἀγαθὸν, καὶ ταῦτα διὰ τὸ φοβεῖσθαι τὸν Θεόν· ἃ δύο ἀναπείθει ἂν ἡμᾶς ἀπο-

τάξα-

τάξασθαι ἑαυτοῖς, ἤγουν ταῖς κατ' ἄνθρωπον ἐπιθυμίαις, τήν τε ἡμετέραν σάρκα νεκρῶσαι, ἵνα τῷ ἁγίῳ πνεύματι ἡγεμόνι ἑπόμενοι, ἐν πάσαις ταῖς ἡμετέραις πράξεσι τῇ θεραπείᾳ τοῦ Θεοῦ σχολαζώμεθα.

Δ. Τοῦτο ἦν ἄρα τὸ δεύτερον τῶν κεφαλαίων εἰς ἃ τὴν τῶν χριστιανῶν εὐσέβειαν διειλόμεθα ἀρχόμενοι.

Μ. Ἦν γάρ· εἴπομεν δὲ τότε ὅτι ὁ ἀληθὴς τῆς τοῦ Θεοῦ θεραπείας κανών ἐστι τὸ τὰ ὑπ' αὐτοῦ κελευόμενα ποιεῖν.

Δ. Διὰ τί;

Μ. Ὅτι οὐ βούλεται θεραπεύεσθαι ὑφ' ἡμῶν ὅπως ἂν ἡμῖν δοκῇ, ἀλλ' ὅπῃ αὐτῷ φίλον, καὶ ὡς ἂν προστάξῃ.

ΠΕΡΙ ΤΟΥ ΝΟΜΟΥ, ἤτοι τῶν δέκα ἐντολῶν τοῦ Θεοῦ.

Δ. Τίνα οὖν ἡμῖν ἔδωκε κανόνα, πρὸς ὃν τὸν ἡμέτερον βίον κατευθύνειν προσήκει;

Μ. Τὸν αὐτοῦ νόμον.

Δ. Τί δὲ ἐστὶ περιέχει;

Μ. Εἰς δύο μέρη διῃρημένος ὤν, τῷ μὲν προτέρῳ τέτταρα παραγγέλματα περιείληφε, τῷ δὲ ἑτέρῳ ἕξ· καὶ οὕτω δέκα ἐστὶ ἅπαντα τὰ ἐντάλματα.

Δ. Τίς οὕτω διεῖλεν;

Μ. Αὐτὸς ὁ Θεός, ὃς δυσὶ πλαξὶν ἐγκεχαραγμένον αὐτὸν ἔδωκε τῷ Μωϋσεῖ, καὶ πολλάκις ἔλεξεν ὅτι δέκα ῥήμασι περιέχεται.

Δ. Περὶ τίνος δὲ ἡ προτέρα πλὰξ προστάγματα ἔχει;

Μ. Περὶ τοῦ τὸν Θεὸν σεβάσασθαι ὡς χρή.

Δ. Περὶ τινος δὲ ἡ δευτέρα;

Μ. Περὶ τοῦ πῶς ἡμᾶς ἀλλήλοις προσφέρεσθαι δεῖ.

§. 22. Δ. Λέγε τὴν πρώτην ἐντολήν, ἢ τὸ πρῶτον κεφάλαιον.

Μ. Ἄκουε Ἰσραήλ. Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι ἐνώπιόν μου.

Δ. Νῦν

Δ. Νῦν δὲ τὸν νοῦν τῶν ῥημάτων ἐξήγησαι.

M. Πρῶτον ὀλίγα τινὰ οἰονεὶ προοιμιάζει τοῖς ἐν τῷ νόμῳ γεγραμμένοις· ὅταν γὰρ Κύριον ἑαυτὸν ὀνομάζῃ, φανερὸν ἡμῖν ποιεῖται ὅτι ἐξουσίαν ἔχει τοῦ προστάττειν· τὸν δὲ Θεὸν ἡμῶν καλῶν ἑαυτὸν, ἔρωτα ἡμῖν τοῦ ἰδίου νόμου ἐμποιεῖ. ὅμοιον γὰρ ὡς εἰ σωτῆρα ἡμῶν ὠνόμαζεν ἑαυτόν. αὐτοῦ δὲ τοσαύτης ἡμᾶς εὐεργεσίας ἀξιοῦντος, πῶς οὐ δίκαιον ταύτην τὴν ἀμοιβὴν αὐτῷ ἀποδοῦναι τὸ εὐπειθῆ λαὸν αὐτῷ εἶναι;

Δ. Ὁ δὲ τούτοις ἐπισυνάπτει περὶ τῆς ἐξελευθερώσεως τοῦ ἐν Αἰγύπτῳ δουλείαν ὑπομείναντος λαοῦ μόνον ἰδίως περὶ τοῦ Ἰσραηλιτικοῦ εἴρηται λαοῦ;

M. Πάνυ μὲν οὖν, ὅσα γε κατὰ τὸ σῶμα· ἀλλ' ἔστι τι καὶ ἄλλο ἐξελευθερώσεως εἶδος τὸ πᾶσιν ἀνθρώποις κοινόν· ἡμᾶς μὲν γὰρ ἅμα πάντας τῆς Πνευματικῆς δουλείας, (δι' ἧς τῇ ἁμαρτίᾳ ἐδουλεύομεν) καὶ τῆς τοῦ

διαβόλου τυραννίδος ἀπήλλαξεν.

Δ. Διὰ τί δὲ ἐν τῷ τοῦ νόμου προοιμίῳ μνείαν ταύτην ἐποιήσατο.

Μ. Ἵνα προδιδάσκῃ ἡμᾶς ὅτι εἰκότως πολλὴν ἀχαριστίαν ἡμῖν ἐγκαλέσει, ἐὰν μὴ αὐτῷ ἐν πᾶσιν εὐπειθεῖς καὶ κατήκοοι γενώμεθα.

Δ. Τί δὲ ἐν τῷδε τῷ πρώτῳ κεφαλαίῳ ἀπαιτεῖ παρ' ἡμῶν;

Μ. Ἵνα ὁλόκληρον τὴν προσήκουσαν αὐτῷ τιμὴν προσάπτωμεν, εἰς ἄλλον μηδένα ταύτης μηδ' ὁπωσοῦν μεταφέροντες.

Δ. Ποία δέ τίς ἐστιν ἡ ἰδία προσήκουσα αὐτῷ τιμὴ, ἣν ἄλλοσε μεταφέρειν οὐ θέμις;

Μ. Τὸ σέβεσθαι αὐτὸν, ἐπικαλεῖσθαί τε, καὶ αὐτῷ μόνῳ πεποιθέναι, ἐνὶ δὲ λόγῳ, πάντα τὰ τῇ αὐτοῦ μεγαλειότητι πρέποντα ἀπονέμειν.

Δ. Τί δὲ βουλόμενος προστίθησιν, Ἐνώπιόν μου;

Μ. Ἐπειδὴ καὶ τὰ κεκρυμμένα τῆς δια-

νοίας ἡμῶν βουλεύματος ὀρέξεως καὶ γνώσεως· ἔτι δὲ καὶ ἑκάστης τῆς τιμῆς ἐστὶν, ὅτι οὐκ ἀρκεῖται τῇ ἔξωθεν, ἤγουν διὰ γλώσσης, αὐτῷ προσαπτομένῃ ὑφ' ἡμῶν τιμῇ, ἀλλὰ καὶ ἐν τῇ ψυχῇ ἀπορρήτως ὑφ' ἡμῶν τιμᾶσθαι καὶ θεραπεύεσθαι βούλεται.

§. 23. Δ. Πρὸς τὸ δεύτερον παράγγελμα μεταβαίνωμεν.

Μ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς.

Δ. Μῶν μὴ πᾶν εἶδος εἰκόνος ποιεῖν ἀπαγορεύεται;

Μ. Οὐχ· ἀλλὰ δύο μόνον ἐνταῦθα ἀπαγορεύει, ἤγουν Θεοῦ τύπον ἀπεικονίζειν ἢ ὁποιᾳδηποτοῦν εἰκόνι προσκυνεῖν.

Δ. Διὰ τί τῷ Θεῷ ὁρατήν τινα μορφὴν περιάπτειν οὐ θέμις;

Μ. Ὅτι αὐτὸς Πνεῦμα ἐστὶ, ἀΐδιός τε

ἐς ἀκατάληπτος ὑπάρχων, εἰκόνι σωματικῇ φθαρτῇ τε καὶ ἀψύχῳ ἀνόμοιός ἐστι παντελῶς.

Δ. Νομίζεις οὖν ἀτιμίαν τῇ ἐκείνου μεγαλειότητι τεθεῖσθαι τὸν σωματοειδῶς αὐτὸν ἀπεικάζειν βουλόμενον.

Μ. Ἔγωγε.

Δ. Τίς δὲ προσκυνήσεως τρόπος ἐνθάδε ἀπείρηται;

Μ. Τὸ εἰκόνι τινὶ γονυπετήσαντας προσεύχεσθαι, ἢ τινος ἄλλης τιμῆς αὐτὴν ἀξιοῦν, ὡς διʼ ἐκείνης ἡμῖν ἐμφαίνοντος ἑαυτὸν τοῦ Θεοῦ.

Δ. Οὐκοῦν νομίζειν χρὴ πᾶν τὸ γεγραμμένον ἢ γεγλυμμένον ἀποδοκιμάζεσθαι ἐνταῦθα, ἀλλὰ μόνον ἀπαγορεύεσθαι μηδεμίαν εἰκόνα ποιῆσαι, ἕνεκα τοῦ ἐν αὐτῇ τὸν Θεὸν ζητεῖν, ἢ θεραπεύειν, ἢ καὶ (ὅπερ οὐδὲν διαφέρει) αὐτὴν οὕτω θεραπεύειν ὡς διὰ ταύτης τῆς θεραπείας τιμῶντας τὸν Θεὸν, ἢ ἄλλως πῶς

 αὐτῇ

αὐτῇ κατασχεθῆναι εἰς εἰδωλολατρείαν.

M. Οὕτως.

Δ. Τί δὲ αὐτῷ διὰ τούτου τοῦ κεφαλαίου διδάσκειν ἡμᾶς προσήκεται;

M. Ὥσπερ ἐν τῷ περὶ τούτου ὁ Θεὸς ἐδήλωσεν, οὐδένα πλὴν αὐτοῦ, τιμῆς καὶ σεβασμοῦ ὑφ' ἡμῶν ἀξιωθῆναι δεῖν· οὕτως ἐνταῦθα τὸν ὀρθὸν καὶ ἀληθῆ προσκυνήσεως τρόπον ἐπιδείκνυσι, ἵνα πάσης δεισιδαιμονίας καὶ πάσης τῆς κατὰ τὴν ἀνθρωπίνην ἐπίνοιαν ἐθελοθρησκείας ἡμᾶς ἀποτρέπῃ.

§. 24. Δ. Προΐωμεν.

M. Ἀπειλὴν προστίθησι, λέγων.

Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ἰσχυρὸς, ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με.

Δ. Τίνος χάριν ἐμνήσθη τῆς αὐτοῦ δυνάμεως;

M. Ἵνα ἐντεῦθεν καταμάθωμεν ὅτι

ἱκανός ἐστι τῆς αὐτοῦ δόξης καὶ τιμῆς ὑπερασπίζειν.

Δ. Διὰ τί ἑαυτὸν καλεῖ ζηλωτήν;

Μ. Ὅτι οὐ φέρει τινὰ τῆς ἰδίας δόξης κοινωνὸν ὄντα. ὥσπερ γὰρ αὐτὸν κατὰ τὴν ἑαυτοῦ ἄπειρον ἀγαθότητα ἐκδέδωκεν ἡμῖν, οὕτω καὶ ἡμᾶς ἰδιοποιεῖσθαι. καὶ αὕτη ἐστὶν ἡ τῶν ἡμετέρων ψυχῶν ἁγνεία, τὸ αὐτὰς ἐκείνῳ καθιεροῦσθαι, παντελῶς τε προσεστηκέναι. ὡς πάλιν μοιχείαν ἐγκαλοῦνται ὅσοι τοῦτον χαίρειν ἐάσαντες, πρὸς δεισιδαιμονίαν καὶ ψευδοδιδασκαλίαν τρέπονται.

Δ. Τίς δὲ ἡ τούτου τοῦ λόγου ἔννοια, δι' οὗ λέγει ὅτι ἀποδίδωσιν ἁμαρτίαν πατέρων ἐπὶ τέκνα;

Μ. Ὅπως ἡμῖν μείζονα φόβον ἐμποιῇ, οὐ μόνον τοὺς ἐξαμαρτόντας τιμωρήσεσθαι ἀπειλεῖ, ἀλλὰ καὶ τὴν αὐτῶν γενεὰν ἐναγῆ καὶ ἀρᾷ ἔνοχον γενήσεσθαι λέγει.

Δ. Ἆρα οὐκ ἀπεικὸς καὶ πάντως ἀλλότριον τῆς τοῦ Θεοῦ δικαιοσύνης ἐστὶ τὸ ἕτερον

ἀντ'

ἀνθ' ἑτέρου δίκην εἰσπράξεσθαι.

M. Εἰ μὲν γὰρ τὰ ἀνθρώπινα ἐνθυμηθείη
οἷα πέφυκε, παύσεται ταύτην τὴν ἀπορίαν
προβαλλόμενος· φύσει μὲν γὰρ πάντες ὁμοίως
ἀρᾷ ἔνοχοί ἐσμεν, καὶ ἐὰν ταύτῃ ἡμᾶς ὁ Θεὸς
ἐμμένειν ἐάσῃ, οὐκ ἂν αὐτοῦ καταμέμφεσθαι
ἔχομεν. καθάπερ γὰρ τὴν ἰδίαν ἐπιδείκνυται
εὔνοιαν πρὸς τοὺς εὐσεβεῖς, ὅταν καὶ τοῖς αὐτῶν
ἀπογόνοις εὐλογίας μεταδιδῷ· οὕτω φανερὸν
σημεῖον τῆς κατὰ τῶν ἀσεβῶν τιμωρίας δί-
δωσιν, ὅταν καὶ τοὺς ἀπ' αὐτῶν ἐπιγινομένους
καταρᾶ τοὺς ὄντας περιφορᾷ.

Δ. Ἐπὶ τὰ ἑξῆς πρόβαινε.

M. Ἵνα ἡμᾶς καὶ διὰ τῆς φιλικῆς χρηστό-
τητος ἐπάγηται, ἐπαγγέλλεται ποιήσειν ἔλεος
εἰς χιλιάδας τοῖς ἀγαπῶσιν αὐτόν, καὶ τοῖς
φυλάσσουσι τὰ προστάγματα αὐτοῦ.

Δ. Πῶς τοῦτο φησίν; ἆρα λέγει ὅτι πάν-
τες εὐσεβοῦς ἀνδρὸς ἔκγονοι, κἂν ἀσεβεῖς ὦ-
σι, διὰ τὴν ἐκείνου εὐσέβειαν τεύξονται σω-
τηρίας παρ' αὐτοῦ;

M. Οὐδαμῶς· ἀλλὰ τοιοῦτόν ἐστιν ὃ φησιν, ὅτι δηλαδὴ οὕτως εὐμενῆ ἑαυτὸν παρέξει τοῖς πιστοῖς, ὥστε αὐτῶν ἕνεκα καὶ τοῖς ἐκείνων ἀπογόνοις εὐμενῶς προσφέρεσθαι, καὶ οὐ μόνον διδόναι αὐτοῖς τὸ εὐημερεῖν ἐν τῷ παρόντι βίῳ, ἀλλὰ καὶ ἁγιάζειν τὰς αὐτῶν ψυχάς, ἵνα τῇ αὐτοῦ ποίμνῃ ἐγκαταλέγωνται.

Δ. Ἀλλὰ μὴν οὐκ ἐπὶ πάντων τοῦτο συμβαίνει.

M. Οὐ πάνυ· ὥσπερ γὰρ ἐφ' ἑαυτῷ εἶναι βούλεται, τοῖς τῶν ἀσεβῶν ἐκγόνοις συγγνώμονα παρέχειν ἑαυτὸν ὁσάκις ἂν δοκῇ· οὕτως οὐδὲ τὴν ἰδίαν χάριτα οὕτω τῇ τῶν εὐσεβῶν γενεᾷ ὑπήκοον εἶναι ἐθέλει ὥστε μὴ δύνασθαι τῶν ἀπ' αὐτῆς οὕσους ἂν βούληται ἀποδοκιμάζειν· ἐν τούτῳ μέντοι οὕτω μετριάζει ὥστε ἕκαστον ἡμῶν κενὴν οὐκ οὖσαν οὐδ' ἀπατηλὴν ταύτην τὴν ὑπόσχεσιν ὁρᾶν.

Δ. Διὰ τί ἐνταῦθα χιλίας γενεὰς ὀνομάζει, τὸν δὲ χρόνον τῆς τῶν ἀσεβῶν τιμωρίας τρισὶν ἢ τέτταρσι μόνον γενεαῖς περιγράψας;

M. Ἵνα

Μ. Ἵνα μάθωμεν ὅτι χαίρει μᾶλλον τῷ πρᾳότητι ἢ τῷ ἀπολομέναι γενέσθαι· ὥς που καὶ μαρτυρεῖ ὅτι συγγνωμονικός ἐστιν, ἀλλ᾽ οὐκ ὀξύθυμος καὶ τιμωρητικός.

§. 25. Δ. Λέγε τὴν τρίτην ἐντολήν.

Μ. Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ.

Δ. Τόδε μοι διασαφήσον.

Μ. Τῷ τοῦ Θεοῦ ὀνόματι καταχρῆσθαι ἀπαγορεύει, οὐ μόνον ἐν τῷ ἐπιορκεῖν, ἀλλὰ καὶ ἐν τῷ ὅρκους ἀνονήτους ὀμόσαι.

Δ. Οὐκοῦν Θεὸν ἐνίοτε θέμις ὀμόσαι;

Μ. Ἔγωγέ φημι, ὅταν εὔλογός τις αἰτία τοῦ ὅρκου παρῇ· λέγω δὲ, ὁσάκις ἂν περὶ πράγματος μέγα φέροντος ἀλήθειαν ὅρκῳ πιστῶσαι τὸ προσήκῃ, ἵνα μὴ ἡ ἐν ἀλλήλοις φιλία καὶ ὁμόνοια τινῶν λυθῇ.

Δ. Ἆρά γε μόνον ἀπέχεσθαι κελεύει ὅρκων οἷς τὸ τοῦ Θεοῦ ὄνομα βεβηλοῦται καὶ ἀτιμάζεται;

Μ. Ἑνὸς εἴδους μνησθεὶς, ἡμᾶς διδάσκει,

καθόλου μὴ δεῖν τὸ Θεοῦ ὄνομα ἄλλως ἐξαγορεύειν ἢ μετά τινος αἰδοῦς καὶ ἐντροπῆς, καὶ ὑπως ὥστε αὐτὸ δοξασθῆναι· ἐπεὶ γὰρ ἱερόν ἐστιν, ἡμᾶς εὐλαβεῖσθαι δεῖ μή πως αὐτὸ ἀτιμάζειν δοκοῦμεν, ἢ τοῦ ἀτιμάζειν τοῖς ἄλλοις ἀφορμὴν διδῶμεν.

Δ. Πῶς δὲ τοῦτον τὸν νόμον φυλάξομεν;

Μ. Περὶ Θεοῦ καὶ τῶν ἔργων αὐτοῦ μηδὲν ἄλλο λέγοντες ἢ διανοούμενοι, ἢ ὅ,τι ἂν πρὸς τὴν αὐτοῦ τιμὴν καὶ δόξαν τείνῃ.

Δ. Τί τὸ μετὰ ταῦτα;

Μ. Ἀπειλεῖ, λέγων ὅτι οὐ καθαριεῖ τὸν λαβόντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ· τοῦτ' ἔστιν, ὅτι οὐκ ἐν τοῖς ἀθώοις καταλογίσεται τὸν ματαίως καὶ ἀλόγως τὸ ὄνομα αὐτοῦ ὀμόσαντα.

Δ. Ἐπειδὴ ἀλλαχοῦ λέγει ἅπαξ ὅτι τιμωρήσεται τὸν ἥντιναοῦν τῶν ἐντολῶν παραβάντα, διὰ τί ῥητῶς ἐνταῦθα τῷ παρελκύσαντι τούτου τοῦ προστάγματος τὰ αὐτὰ πάλιν ἀπειλεῖ;

Μ. Ἵνα

M. Ἵνα μάθωμεν ἐντεῦθεν ὅσιον οὐδὲν ἐπὶ τῇ ἰδίᾳ δόξῃ ποιεῖν· ἔτι μαθόντες διὰ τοῦτο, ἐπιμελέστερον σπουδάζωμεν περὶ αὐτῆς καὶ ἡμεῖς, ἄλλως τε καὶ ἐπεὶ ἀκούομεν αὐτοῦ τὴν κατὰ τῶν ὀλιγωρησάντων ταύτης ἀπειλήν.

§. 26. Δ. Πρὸς τὴν τετάρτην ἐντολὴν ἐρχώμεθα.

M. Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, ἁγιάζειν αὐτήν· ἓξ ἡμέρας ἐργάσῃ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα Κυρίῳ τῷ Θεῷ σου ἐστίν. οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον σύ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, ὁ βοῦς καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί· ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τόν τε οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. διὰ τοῦτο εὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

Δ. Ἆρα ἓξ ἡμέρας συνεχεῖς ποιεῖν κε-

λεύει

λεύει ἵνα τῇ ἑβδόμῃ ἀναπαυώμεθα;

Μ. Οὐχ ἁπλῶς τοῦτο, ἀλλὰ ἓξ ἡμέρας ποιεῖν συγχωρήσας, τὴν ἑβδόμην καταπαύσιμον τῶν ἔργων εἶναι κελεύει.

Δ. Οὐκοῦν ἀπὸ οὐτινοσοῦν ἔργου σχολάζειν ἡμᾶς παραγγέλλει;

Μ. Τοῦτο τὸ πρόσταγμα ἰδίαν τινὰ θεωρίαν ἔχει. καὶ γὰρ ἡ τήρησις τοῦ περὶ τῆς καταπαύσεως παραγγέλματος, τῶν παλαιῶν τελετῶν ἐστι· διὸ καὶ ἐλθόντος τοῦ Χριστοῦ ἀνῃρέθη.

Δ. Μῶν λέγεις ἰδίως προσήκειν τοῖς Ἰουδαίοις ταύτην τὴν ἐντολὴν, καὶ ὅτι οὐδὲν πρὸς ἡμᾶς αὐτὴ, ἅτε δὴ πρόσκαιρος οὖσα;

Μ. Λέγω γὰρ ἐφόσον γε πρὸς τὴν τελετὴν ἀναφέρεται.

Δ. Τί δέ. ἔχει τοῦτο τὸ πρόσταγμα πλέον τι ταύτης τῆς τελετῆς;

Μ. Τρία ἐστὶ δι᾽ ἃ τοῦτο ἐδόθη.

Δ. Τὰ ποῖα;

Μ. Ὅπως τῆς πνευματικῆς ἀναπαύσεως τύπος γένηται, καὶ τὰ τῆς ἐκκλησιαστικῆς πο-

πολιτείας

λιτείας ἔργοις βεβαίαν τινὰ διάταξιν ἔχῃ ἤτι δὲ τὸ γίνεσθαι τοῖς ὑπηρέταις ἀναψυχισμόν τινα δῦναι τῶν πόνων.

Δ. Τίνα μοι πνευματικὴν ἀνάπαυσιν λέγεις;

Μ. Ὅταν ἡμεῖς μὲν ἀπὸ τῶν ἰδίων ἔργων ἡσυχίαν ἄγωμεν, τὸ δὲ ἅγιον Πνεῦμα ἐν ἡμῖν ἐνεργῇ.

Δ. Τίς δὲ ἐστιν ὁ τοῦ σχολάζειν τρόπος;

Μ. Ἐὰν τὴν ἡμετέραν σάρκα σταυρώσωμεν, τοῦτ' ἔστιν ἐὰν τῇ ἰδίᾳ ἡμῶν φύσει ἀποταξώμεθα, ἵνα τῷ τοῦ Θεοῦ πνεύματι κυβερνώμεθα.

Δ. Πότερον δὲ ἀποχρῆ δι' ἑβδόμης ἡμέρας τοῦτο πράττειν;

Μ. Οὐχ, ἀλλὰ συνεχῶς ποιητέον. ἐξ ὅτου γὰρ ἂν ἅπαξ ἀρξώμεθα, ἅπαντα τὸν βίον τοῦτο δεῖ ποιουμένους διατελεῖν.

Δ. Τίνος οὖν ἕνεκα ἡμέρα τις ῥητὴ τούτῳ τῷ ἔργῳ προστέτακται;

Μ. Οὐδεμία ἀνάγκη τὸν τύπον τῇ ἀ-

ληθείᾳ

ληθινὰ αὐτοῦ παντελῶς ὅμοιον ἐστι, ἐκεῖνο δὲ εἰ κατά τι ἔοικεν αὐτῷ, ἤγουν μέχρι τοῦ δυνάσθαι αὐτὴν τυπῶσαι.

Δ. Διὰ τί δὲ ἡ ἑβδόμη ἡμέρα τῶν ἄλλων προυτιμήθη;

Μ. Ὁ ἑπτὰ ἀριθμὸς ἐν τῇ ἱερᾷ γραφῇ συντέλειαν τελειότητα, διὸ καὶ πρὸς τὸ ἀϊδιότητα σημαίνειν ἐπιτήδειός ἐστιν. ἅμα δὲ καὶ δηλοῖ ὅτι αὕτη ἡ πνευματικὴ ἀνάπαυσις ἀπὸ μὲν τῆς νῦν ζωῆς ἀρχὴν λαμβάνει, οὐ τελειωθήσεται δὲ πρὶν ἡμᾶς τὸν παρόντα μεταλλάξαι βίον.

§. 27. Δ. Πῶς δὲ κελεύει ἡμᾶς σχολὴν ἄγειν, τῷ ὑποδείγματι αὐτοῦ ἑπομένους;

Μ. Ὅλον τὸν κόσμον ἓξ ἡμέραις κατασκευάσας, τὴν ἑβδόμην τῇ τῶν ἰδίων ἔργων θεωρίᾳ προσέταξε καὶ ἀνέθηκεν· ὅπερ ἵνα καὶ ἡμεῖς προθυμότερον ποιῶμεν, τοῦτο τὸ παράδειγμα προστίθησιν, ὅπερ ἡμῖν παρέσχηκεν· οὐδὲν γὰρ ποθεινότερον ἢ τὸ μιμητὰς αὐτοῦ ὑπάρχειν.

Δ. Ἆρα

Δ. Ἆρα γε ἡμᾶς ἀδιαλείπτως τὰ τοῦ Θεοῦ ἔργα σκέπτεσθαι καὶ μελετᾶν προσήκει, ἢ δι' ἑβδόμης ἡμέρας τοῦτο ποιεῖν ἀπόχρη;

Μ. Καθ' ἑκάστην δῆλον ὅτι τοῦτο ἡμῖν ποιητέον· ἀλλὰ διὰ τὴν ἡμετέραν ἀσθένειαν, ἰδίαν τινὰ καὶ τακτὴν πρὸς τοῦτο ἔχομεν ἡμέραν· καὶ αὕτη ἐστὶν ἡ διάταξις ἣν εἶπον.

Δ. Τίνα οὖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῖς ἀπὸ τῆς ἐκκλησίας τακτὰ εἶναι δεῖ ἔργα;

Μ. Συνελθεῖν δεῖ τὸν ὅμιλον αὐτῶν τὰ τοῦ Θεοῦ μαθησόμενον λόγια, τάς τε εὐχὰς ὁμοῦ καὶ τῆς πίστεως ἐξαγόρευσιν ποιησόμενον.

Δ. Πῶς δὲ φῂς ταύτην τὴν ἐντολὴν καὶ πρὸς τὴν τῶν ὑπηρετικῶν πόνων ἀνάπαυλαν τείνειν;

Μ. Ὅπως οἱ τοῖς ἄλλοις ὑποτεταγμένοι ὄντες ἀπὸ τῶν καμάτων ἀναπνεῖν δυνηθῶσιν· τοῦτο δὲ καὶ πρὸς τὸ διασώζειν τὴν τῆς κοινῆς πολιτείας κατάστασιν συμβάλλεται. ὅταν γὰρ ἡμέρα τις τῇ αὐτῶν ἀναπαύσει δοθῇ, τὸ λοιπὸν τοῦ χρόνου πρὸς τοὺς πόνους ἑαυτὸν ἐθίζει ἕκαστος.

Δ. Ὥρα

Δ. Θέλω νῦν εἰδεῖν ἢ τοῦτο τὸ πρόσταγμα ἡμῖν παρέστηκε.

Μ. Τὸ μὲν κατὰ τὴν τελετὴν, ἠκυρώθη, ἅτε δὴ τῆς αὐτοῦ ἀληθείας ἐν Χριστῷ ὑπαρξάσης.

Δ. Πῶς;

Μ. Ἐπειδὴ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη τῇ δυνάμει τοῦ θανάτου αὐτοῦ, καὶ τῇ αὐτοῦ ἀναστάσει εἰς καινόν τινα βίον συνανιστάμεθα.

Δ. Ἀκυρωθείσης οὖν τῆς τελετῆς, τί ἐκ τούτου τοῦ προστάγματος λείπεται ἡμῖν;

Μ. Τὸ τὰ ὁσίως διατεταγμένα πρὸς εὐταξίαν τῆς ἐκκλησίας, φυλάσσειν· μάλιστα δὲ τὸ πρὸς ἀκρόασιν τῶν θεοπαραδότων λογίων τὸν λαὸν συνέρχεσθαι, καὶ χάριν τοῦ τάς τε προσευχὰς κοινῇ ποιεῖσθαι, καὶ τὰ τῶν Χριστιανῶν μυστήρια τελεῖν.

Δ. Τί δὲ, τὸν τῆς παλαιᾶς τελετῆς τύπον εἰς οὐδὲν συμβάλλεσθαι ἡμῖν νομιστέον;

Μ. Οὐδαμῶς· δεῖ γὰρ τοῦτον τὸν τύπον

πρὸς τὴν αὐτοῦ ἀλήθειαν ἀνάγειν, τουτέστι πρὸς ἐκεῖνο ὃ προετύπου. ἵνα δηλαδὴ τὰ τοῦ Χριστοῦ ἀληθινὰ μέλη ὄντες, τοῖς μὲν ἡμετέροις ἔργοις χαίρειν εἴπωμεν. αὐτὸν δὲ ἐάσωμεν ἡμῖν χρῆσθαι ὅ, τι περ αὐτῷ βουλομένῳ ἐστί.

§. 28. Δ. Ἐπὶ τὰ ἐν τῇ ἑτέρᾳ πλακὶ μεταβῶμεν.

Μ. Ἐντεῦθεν ἀρχὴν λαμβάνει. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.

Δ. Τί ἐστι τὸ τιμᾶν;

Μ. Τὸ μετὰ πολλῆς ταπεινοφροσύνης τοῖς γονεῦσι προσφέρεσθαι. πειθομένους τε αὐτοῖς εἶναι, διὰ τιμῆς ἄγοντας αὐτοὺς, καὶ αὐτοῖς ἐπικουροῦντας, ἐνί τε λόγῳ, πᾶσαν σπουδὴν περὶ αὐτῶν ποιουμένους. τρισὶ γὰρ τούτοις τοῖς κεφαλαίοις περιέχεται ἡ ὀφειλομένη τοῖς γονεῦσι παρὰ τῶν τέκνων τιμή.

Δ. Πρόϊθι δή.

Μ. Τῇ ἐντολῇ ταύτῃ προσζεύγνυσιν ὁ Θεὸς ὑπόσχεσιν, ὅταν λέγῃ, Ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Δ. Ποῖον

Δ. Ποῖόν ἐστιν ὃ λέγεις;

Μ. Ὅτι μακροβίους ἀπεργάσεσθαι ὅσοι ἂν τοῖς γονεῦσι τὴν προσήκουσαν ἀπονείμωσι τιμήν.

Δ. Ἐπιπονωτάτου ὄντος τοῦ παρόντος βίου καὶ παντοδαπῶν γέμοντος κακῶν, πῶς ἐν εὐεργεσίας τάξει ποιεῖσθαι ἡμᾶς τὴν τῆς ζωῆς πολυχρονιότητα ὁ Θεὸς βούλεται;

Μ. Ὁ νῦν βίος ὁποσονοῦν ταλαίπωρος ἂν εἴη, ταῖς τοῦ Θεοῦ δωρεαῖς ὅμως αὐτὸν δεῖ τοὺς πιστοὺς ἐγκαταλέγειν ὅτι δίδοται· ἄλλως τε καὶ ἐπεὶ πατρῴαν τινὰ εὔνοιαν ἐνδείκνυται ὅταν αὐτοὺς ἐνταῦθα ὄντας διασώζῃ.

Δ. Ἀλλὰ πότερον ἀκολούθως τούτοις Θεοῦ κατάρατον εἶναι λέξομεν ὅστις ἂν ὠκύμορος γένηται καὶ ἄωρος ἀποθάνῃ;

Μ. Οὐ γάρ. μᾶλλον γε πολλοὺς ἐστὶν ὁρᾷν τοσούτῳ βραχυβιωτέρους ὄντας τῶν ἄλλων ὅσῳ περ ἂν πλέον ὑπὸ τοῦ Θεοῦ ἀγαπῶνται.

Δ. Εἰ δὲ ταῦθ' οὕτως ἔχει, πῶς τὴν αὐτοῦ ὑπόσχεσιν ἐπιτελεῖ ὁ Θεός;

Μ. Πάνθ'

Μ. Πάνθ' ὅσα ἀγαθὰ ἡμῖν ὁ Θεὸς ἐν τῷ παρόντι βίῳ δώσειν ὑπέσχετο ἡμᾶς νοεῖν χρὴ ὅτι ἐπὶ τούτῳ τῷ διορισμῷ ἐπηγγείλατο, ἐφόσον τῇ ἡμετέρᾳ ψυχῇ σωτηριώδη ὄντα τυγχάνει. δεῖ γὰρ περὶ πάντων λόγον αὐτῆς ἔχειν καὶ ἐπιμέλειαν ποιεῖσθαι, εἴγε μὴ μέλλομεν ὡς πάρεργον ἐκπονεῖσθαι τὸ ἔργον.

Δ. Τί δὲ οἱ τοῖς γεννήσασιν ἀπειθεῖς;

Μ. Οὐ μόνον ἐν τῇ τελευταίᾳ κρίσει παραδώσει τιμωρίᾳ αὐτοὺς ὁ Θεός, ἀλλὰ καὶ ἐνδημοῦντας ἐπὶ τῷ νῦν βίῳ κολάσει κατὰ τὸ σῶμα, ἢ πρὸ ὥρας αὐτοὺς ἀναρπάζων, ἢ θανάτου τι εἶδος ἐπονείδιστον καὶ δύσφημον ἐπιπέμπων, ἢ ἄλλον τινὰ τρόπον.

Δ. Ἀλλ' οὐχὶ ῥητῶς τὴν Χαναὰν γῆν ἐπαγγέλλεται ἐν ταύτῃ τῇ ὑποσχέσει;

Μ. Πάνυ μὲν οὖν τό γε πρὸς τοὺς Ἰσραηλίτας· ἀλλ' ἡμᾶς χρὴ γενικώτερον ἐκλαμβάνειν τὸ ῥηθέν· καὶ γὰρ εἰ ὁποιανδήποτ' ἂν χώραν [illegible], δίδωσιν ἡμῖν κατοίκησιν ἐν αὐτῇ, ἅτε δὴ οὔσης αὐτοῦ ὅλης τῆς οἰκουμένης.

Δ. Οὐδὲν

Δ. Οὐδὲν ἄλλο περιέχει τὸ πρόσταγμα;

Μ. Εἰ καὶ τῶν γεννητόρων μόνον ἐμνήσθη, ὅμως καὶ τοὺς ἐν ἀξιώματι ὄντας καὶ προεσταμένους ἡμῶν περιλαμβάνει, ἐπεὶ ὁ αὐτός ἐστι καὶ περὶ τούτων λόγος.

Δ. Πῶς;

Μ. Ὅτι καὶ αὐτοὶ τὸ προστατεύειν ἡμῶν παρὰ Θεοῦ λαβόντες ἔχουσιν. οὐδὲν γὰρ οὐδὲ γονέων, οὐδὲ ἀρχόντων, οὐδὲ προστατῶν ὁποιονδηποτοῦν ἀξίωμά ἐστιν, οὐδὲν κράτος, οὐδεμία τιμή, εἰ μὴ κατὰ τὸ δοκοῦν τῷ Θεῷ, ᾧ τὰ τοῦ κόσμου φίλον οὕτω διατάξασθαι.

§. 29. Δ. Λέγε τὸ ἕκτον πρόσταγμα.

Μ. Οὐ φονεύσεις.

Δ. Πότερον οὐδὲν ἄλλο ἢ αὐτοχειρίας ἀπαγορεύει;

Μ. Οὐδαμῶς. ἐπειδὴ γὰρ Θεός ἐστιν ὁ ταῦτα προστάττων, ἡμᾶς χρὴ ἐννοεῖν ὡς οὐ μόνον τὰ ἔξωθεν φαινόμενα ἔργα ἡμῶν ἀλλὰ καὶ τὰ κεκρυμμένα τῆς διανοίας ἡμῶν βου-

λεύματα ἐξετάζει, καὶ ταῦτα δὴ οὐχ
ἥκιστα.

Δ. Ἔοικας ἄρα ὑπαινίττεσθαι τὸ παρα-
δηλοῦν εἶδός τι φόνου ἀφανοῦς τε λεληθότος,
ὑπὲρ καὶ αὐτοῦ ὁ Θεὸς καθαρεύειν ἡμᾶς ἀξιοῖ,
ταύτην τὴν ἐντολὴν διδούς.

Μ. Οὕτως ἔχει. τὸ γὰρ ὀργίζεσθαι τῷ
πέλας, τὸ μισεῖν, καὶ ὑπούλως πρὸς αὐτὸν
ἔχειν, τὸν τοῦ βλάπτειν καραδοκοῦντα καιρὸν,
παρὰ τῷ Θεῷ οὐδὲν τοῦ φονεύειν διαφέρει.

Δ. Ἆρά γε, ἐὰν μηδενὶ ἀπεχθανώμεθα,
τοῦ καθήκοντος ἀπαλλαξόμεθα;

Μ. Οὔκ, ἀλλ᾽ ἀπαγορεύων ἀπέχθει-
αν ἔχειν πρὸς τὸν πέλας, καὶ ἀπέχεσθαι
παντὸς ἐξ οὗ μέλλει βλάβην λήψεσθαι,
ἅμα δῆλός ἐστι κελεύων ἡμᾶς αὐτὸν ἐκ καρ-
δίας φιλεῖν, καὶ ἄριστα φρονεῖν αὐτῷ.

Δ. Ἐρχώμεθα ἐπὶ τὸ ἕβδομον.

Μ. Οὐ μοιχεύσεις.

Δ. Τί ἐστι τὸ κεφάλαιον τούτου τοῦ πα-
ραγγέλματος;

Μ. Ὅτι

Μ. Ὅτι πᾶσαν μοιχείαν καὶ πορνείαν ὁ Θεὸς βδελύττεται. διὸ καὶ τούτων ἡμᾶς ἀπέχεσθαι κελεύει, ἵνα μὴ αὐτὸν ἐξοργίζωμεν.

Δ. Οὐδὲν δὲ ἄλλο βούλεται;

Μ. Τοῦτο ἀεὶ ἐνθυμεῖσθαι προσήκει, ὅτι ὁ ἡμέτερος νομοθέτης τοιοῦτος πέφυκεν οἷος οὐ τὰ ἔξωθεν μόνον, ἀλλὰ καὶ μᾶλλον τὰ ἔνδοθεν ὁρᾶν, ἅτε δὴ τοῖς βάθεσι τῆς ἡμετέρας καρδίας ἐμβατεύων.

Δ. Τί οὖν πλέον περιέχει;

Μ. Ἐπειδὴ αἵ τε ψυχαὶ ἡμῶν καὶ τὰ σώματα, ναοὶ τοῦ ἁγίου πνεύματός εἰσιν, ἡμᾶς ἀξιοῖ ὁ Θεὸς ἄχραντα καὶ ἀμόλυντα διατηρεῖν ἑκάτερα, καὶ οὐ μόνον ἔργῳ ἁγνοὺς εἶ, τῆς ἔξωθεν ἀπεχομένους ἀσελγείας, ἀλλὰ καὶ ἄχρι τῆς καρδίας, ῥημάτων τε καὶ σχημάτων. ὥστε ἡμᾶς παντελῶς κατὰ μὲν σῶμα, πάσης πορνείας, κατὰ δὲ ψυχὴν, πασῶν ἀσελγῶν ἐπιθυμιῶν καθαρεύειν, ἐφ᾽ ᾧ μηδὲν ἡμῶν μέρος τῇ λαγνείας ἀκαθαρσίᾳ μεμιάνθαι.

§. 30. Δ. Ἄγε δὴ, ποῖόν ἐστι τὸ ὄγδοον;

Μ. Οὐ

M. Οὐ κλέψεις.

Δ. Πότερον ὁ νομοθέτης ἐκείνους μόνον κλέπτας ἐγγράφει, οὓς τῶν οἱ παρ' ἀνθρώποις κείμενοι νόμοι ζημιοῦσιν, ἢ καὶ ἄλλους τινὰς μετὰ τούτων ταὐτό;

M. Κλέπτας καταλέγει καὶ ὅσοι τοὺς πέλας διὰ τῶν κτημάτων ὁποιωνοῦν ἀποστεροῦσιν, ἢ ἀποστερεῖν πειρῶνται. διὸ καὶ ἐνταῦθα ἀπείρηται οὐ μόνον τὸ βιαζομένους τἀλλότρια ἁρπάζειν, ἀλλὰ καὶ τὸ παραλέγοντας καὶ παραλογιζομένους χεῖρας ἐκείνοις προσφέρειν, ἢ θηρᾶν ἐκεῖνα ἄλλῃ ὁποιᾳδήποτε μηχανῇ ἀδίκως χρωμένους.

Δ. Τί δὲ οἱ ὁρμήσαντες μὲν κλέπτειν, οὐ χωρήσαντες δὲ καὶ μέχρις ἔργου, καθαροὶ τούτου τοῦ ἐγκλήματός εἰσι;

M. Τοῦτο ἀεὶ διὰ μνήμης ἔχειν δεῖ, ὅτι ὁ νομοθέτης πνευματικὸς ὤν, οὐ μόνον τὰ ἔξωθεν ὁρώμενα ἐξετάζει, καὶ τοὺς προσφανῶς κλέπτοντας κολάζειν ἀξιοῖ, ἀλλὰ καὶ τοὺς ὅσοι παρ' ἑαυτοῖς λογίζονται καὶ βουλεύονται πῶς οἱ ἄλλοι μετον-

κτήσωσιν, ἵνα πλεονεκτεῖν αὐτοὶ δυνηθῶσιν.

Δ. Τί οὖν ἐστι τὸ κυριώτερον ἔργον, κατὰ ταύτην τὴν ἐντολήν;

M. Τὸ ἕκαστον ἐᾷν τὰ ἴδια ἔχειν.

Δ. Λέγε μοι τὸ ἔνατον παράγγελμα.

M. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Δ. Ἆρά γε τὸ ἐν δικαστηρίῳ ἐπιορκεῖν ἀπαγορεύει μόνον, ἢ καὶ τὸ ὁπωσδήποτε καταψεύδεσθαι τοῦ πέλας;

M. Ἓν ἐπιορκίας εἶδος παραθέμενος, διαγγέλλει μὴ καταψεύδεσθαί τινος τὸ παράπαν, μηδὲ ταῖς ἡμετέραις διαβολαῖς ἀτιμίαν περιτιθέναι αὐτῷ, ἢ ζημιῶσαι εἰς τὰ χρήματα.

Δ. Διὰ τί οὖν ῥητῶς τῶν παρὰ τοῖς κριταῖς ἐπιορκούντων ἐμνήσθη;

M. Ἵνα μᾶλλον ἡμῖν μισητὸν καὶ φευκτὸν ἀποδείξῃ τοῦτο τὸ ἁμάρτημα· παραδηλῶν [illegible] ὅτι ὁ διαβάλλειν καὶ κακηγορεῖν εἰθισμέ[illegible]δὲ ἐπιορκεῖν μετὰ ταῦτα ὀκνήσει παρὰ [illegible]ς δικασταῖς, ἕνεκα τοῦ ὀνειδίσαι τὸν πέλας [illegible]διαβάλλειν.

C

Δ. Ἆρ

Δ. Ἆρ᾽ οὐ μόνον χειρῶν ἀλλὰ καὶ [illegible] ἀλλ᾽ ὅτι καὶ [illegible] ὑποψίαν περὶ αὐτοῦ ἔχειν, ἢ ἄλλοις κρίσιν [illegible] αὐτοῦ ἀπαγορεύει;

Μ. Ἀμφότερά γε ἀπαλλάττει [illegible] αἰτίῳ, ἀλλὰ γὰρ [illegible] ἀνθρώπων [illegible] καὶ φήμας, [illegible] ἐναντίον τοῦ Θεοῦ [illegible] ὅσιον.

Δ. Εἰπὲ οὖν συντόμως τί καθόλου τὸ πρόσταγμα περιέχει.

Μ. Τὸ μὴ δεῖν ἡμᾶς περὶ τῶν πέλας κακὴν ὑπόληψιν ἔχειν, μηδὲ αὐτοὺς διαβάλλειν, μᾶλλον δὲ περὶ πάντων διανοεῖσθαι ὡς ἀγαθῶν ὄντων, ὅσον γε μὴ τὸ ἀληθὲς ἐναντιοῦται, καὶ φυλάττεσθαι μισοῦντας ὅτι μάλιστα [illegible] λόγοι ἀδοξίαν αὐτοῖς τινα φέρουσι.

§. 31. Δ. Λέγε τὸ ἔσχατον.

Μ. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. Οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔ-

τε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τοῦ πλησίον σου ἐστί.

Δ. Πνευματικοῦ ὄντος ὅλου τοῦ νόμου, ὡς πολλάκις ἔφθης εἰπὼν, καὶ τοῦ νομοθέτου ἐν τοῖς προειρημένοις προστάγμασιν οὐ μόνον τὰ ἔξωθεν ἡμῶν ἔργα ἀναστέλλειν, ἀλλὰ καὶ τὰς ἔνδοθεν ἐπιθυμίας μεταῤῥυθμίζειν ἀξιοῦντος, τί πλέον ἐνταῦθα λέγεται;

Μ. Διὰ τῶν ἄλλων παραγγελμάτων τὰ κακὰ βουλεύματα ἡμῶν καὶ τὰς ἐπιθυμίας χαλινῶσαι βουληθεὶς, ἐνταῦθα ἀπαγορεύει καὶ τὸ διανοεῖσθαί τι κακὸν μετά τινος ἐπιθυμήσεως, κἂν μή τις προχωρῇ μέχρι τῆς προαιρέσεως τοῦ ποιεῖν αὐτό.

Δ. Ἆρα οὖν ἁμαρτίαις ἐγκαταλέγεις καὶ ἐλαχίστας ἐπιθυμίας ἁπάσας τὰς τὴν ἡμετέραν ψυχὴν ὑπερχομένας, κἂν μὴ αὐτοὶ παρασυρώμεθα ὑπ' αὐτῶν ἀλλ' αὐταῖς ἀντιτείνωμεν;

Μ. Τοῦτο παντί που σαφὲς, ὅτι αἱ κακαὶ ἐνθυμήσεις ἡμῶν πᾶσαι ἐκ τῆς διαφ-

θορᾶς τῆς ἡμετέρας φύσεως ἀρχὴν λαμβά-
νουσι, κἂν ἡμεῖς ἀντιμαχώμεθα αὐταῖς. ὃ
δὲ νῦν λέγω τοιοῦτό ἐστι· τοῦτο τὸ πρόσταγ-
μα ἐστὶ περὶ τῶν πονηρῶν ἐπιθυμιῶν, γαρ-
γαλισμῷ τινὶ τὴν ἡμετέραν ψυχὴν ἐπάγε-
σθαι βουλομένων, ἐὰν καὶ οὐδὲν ἀνύωσιν, οὐδὲ
πείθωσιν αὐτήν.

Δ. Λέγεις οὖν ὅτι μέχρι μὲν τούτου διή-
ρηται μὴ δεῖν ἡμᾶς τῶν ἀλόγων παθῶν ἡτ-
τᾶσθαι μηδὲ αὐτοῖς πείθεσθαι· ἐνταῦθα δὲ
ὁ νομοθέτης οὕτω καθαροὺς ἡμᾶς ἀξιοῖ εἶναι
ὥστε μηδ᾽ ἐᾷν κακήν τινα ἐπιθυμίαν παρεισ-
δῦναι εἰς τὰς ἡμετέρας ψυχάς, τὴν πρὸς
ἁμαρτίαν παρορμῶσαν αὐτάς.

M. Ἔγωγε.

Δ. Οὐκοῦν δυνάμεθα νῦν πάντα τὰ τοῦ
νόμου ἀνακεφαλαιώσασθαι;

M. Μάλιστα, εἰς δύο κεφάλαια διελόν-
τες αὐτόν· ὧν τὸ μὲν ἔσται, τὸ τὸν Θεὸν ἀγαπᾷν
ἐξ ὅλης τῆς ἡμετέρας καρδίας, ἐξ ὅλης ψυ-
χῆς, ἐξ ὅλης ἰσχύος· τὸ δὲ ἕτερον, τὸ τοὺς πέ-
λας ὁμοίως ἑαυτοῖς φιλεῖν. Δ. Τί

Δ. Τί ἐστι τὸ Θεὸν ἀγαπᾷν;

Μ. Τὸ ἀγαπᾷν τὸν Θεὸν ὅτι ἐστὶ τὸ ἄκρον ἀγαθὸν, δεδοικέναι αὐτὸν ὡς δεσπότην, σέβεσθαι καὶ πατέρα ἡγεῖσθαι· καὶ τοὺς αὐτὸν ἀγαπῶντας ἀνάγκη ἅμα εὐλαβεῖσθαι, καὶ σέβεσθαι, θαρρεῖν τε καὶ πεποιθέναι αὐτῷ.

Δ. Τί δὲ βούλεται αὐτῷ τὸ ἐξ ὅλης τῆς ἡμετέρας καρδίας, ἐξ ὅλης ψυχῆς καὶ ἰσχύος ἀγαπᾷν τὸν Θεόν;

Μ. Τὸ οὕτω θερμῶς καὶ γνησίως αὐτὸν φιλεῖν, ὥστε ἡμᾶς τὸ σύμπαν οὐδὲν ἐπιθυμεῖν, οὐδὲν ἐνθυμεῖσθαι, καὶ πρᾶξαι οὐδὲν ἐπιχειρίζειν, ὅπερ ἂν τῇ εἰς αὐτὸν ἀγάπῃ ἐναντίον ᾖ.

§. 32. Δ. Διασάφησόν μοι καὶ τὸ ἕτερον κεφάλαιον.

Μ. Ὥσπερ ἡμεῖς οὕτω πεφύκαμεν ἑαυτοὺς ἀγαπᾷν, ὥστε ταύτην τὴν στοργὴν ἁπάσας τὰς ἄλλας ὑπερβάλλειν, τὸν αὐτὸν τρόπον προσήκει οὕτως εὐνοϊκῶς ἔχειν ἡμᾶς πρὸς τοὺς πέλας, ὥστε ἀεὶ, εἴτε τι βουλευώμεθα, εἴτε τι πράττωμεν, εἰς τὴν πρὸς αὐτοὺς ἀγάπην, οἷόν τινα κανόνα, ἀποσκοπεῖν. Δ. Τίνας

Δ. Τίνας δὲ καλεῖς τοὺς πέλας;

Μ. Οὐ τοὺς συγγενεῖς μόνον ἢ φίλους, ἢ ἀναγκαίους, ἀλλὰ καὶ τοὺς ἡμῖν ἀγνῶστους, καὶ δὴ καὶ τοὺς ἀπεχθῶς πρὸς ἡμᾶς ἔχοντας.

Δ. Ποίᾳ δέ τινι συναφείᾳ ἐκεῖνοι συνημμένοι ἡμῖν εἰσιν;

Μ. Δῆλον ὅτι ἐκείνῃ ᾗ περ ὁ Θεὸς τοὺς πάντας ἀνθρώπους ἀλλήλοις συνέζευξε καὶ συνεκόλλησεν· αὕτη δὲ ἱερὰ καὶ ἀγία οὖσα τυγχάνει, καὶ ὅμως οὐδὲ ὑπὸ τῆς τῶν ἀνθρώπων πονηρίας ἀκυρωθῆναι.

Δ. Σὺ οὖν λέγεις ὅτι εἴ τις ἡμᾶς μισεῖ, τοῦτο τῇ ἰδίᾳ αὐτοῦ κακίᾳ ἀναθετέον· οὐδὲν δὲ ἧττον καὶ αὐτὸν τοῖς πλησίον ἐγγεγράφθαι δεῖ ἡμᾶς, πειθομένους τῷ Θεῷ, ὡς ἀπαράβατον ἡμῖν περὶ ταύτης τῆς συναφείας ἔθηκε νόμον.

Μ. Οὕτως.

Δ. Ἐπειδὴ τοίνυν ἀληθῆ λατρείαν τοῦ Θεοῦ ὁ νόμος διδάσκει, οὐχὶ πάντως κατ' αὐτὸν χρὴ βιοῦν τοὺς Χριστιανούς;

Μ. Πάνυ γε· ἀλλὰ μείζων ἐστὶν ἢ τῶν ἀνθρώπων ἀσθένεια, ἢ ὥστε τινὰ αὐτῶν πάντα τὰ καθήκοντα ἀποτελεῖν δύνασθαι.

Δ. Διὰ τί οὖν οὔπω τελείως ἀξιοῖ ἡμᾶς [illegible], εἴγε τοῦτο ὑπὲρ δύναμιν ἡμετέραν ἐστί;

Μ. Οὐδὲν ἄρα πλέον τῶν ὀφειλομένων ζητεῖ παρ᾽ ἡμῶν· ὅμως μέν τοι ἐὰν πρὸς τὸν προτιθέντα κανόνα ῥυθμίζειν τὸν ἑαυτῶν βίον πειρώμεθα μόνον, κἂν ἡμεῖς τοῦ σκοποῦ, ἤγουν τῆς τελειότητος, μακρὰν ἀπολειπώμεθα, τὸ ἐνδεὲς καὶ ὅσον οὐκ ἐφικτὸν, καίτοι ὀφειλόμενον, αὐτὸς καταχαρίζεται ἡμῖν.

Δ. Πότερον δέ σοι λόγος περὶ πάντων τῶν ἀνθρώπων ἁπλῶς, ἢ μόνον περὶ τῶν πιστῶν;

Μ. Ὁ μήπω τῷ τοῦ Θεοῦ πνεύματι ἀναγεννηθεὶς οὐχ οἷός τε ἔσται οὐδὲν, οὐδὲ τοὐλάχιστον τῶν ἐν τῷ νόμῳ κελευομένων ποιεῖν, ἐὰν δὲ καὶ ποιοῦμέν εὑρίσκεσθαί τινα τὸν μέρος τι τοῦ νόμου φυλάττειν δυνάμενον,

οὐχ

οὐχ ἱκανῶς τὰ δέοντα ἐνώπιον τοῦ Θεοῦ ἀποτελέσῃ· καὶ γὰρ ὁ Κύριος κατάρᾳ ἐνέχεσθαι λέγει πάντα τὸν μὴ ὅλον τὸν νόμον τελείως φυλάξαντα.

§. 33. Δ. Ἐκ τούτων ἄρα δῆλον ὅτι ὥσπερ δύο ἀνθρώπων ἐστὶν εἴδη, οὕτω καὶ διπλοῦν τοῦ νόμου ἐστὶν ἔργον.

Μ. Οὕτω· καὶ γὰρ παρὰ μὲν τοῖς ἀπίστοις οὐδὲν ἄλλο δύναται ἢ αὐτοὺς ἐλέγχειν καὶ ἀναπολογήτους ἀποδεικνύειν παρὰ τῷ Θεῷ· (καὶ τοῦτό ἐστιν ἄρα τὸ ὑπὸ τοῦ Παύλου λεγόμενον, ὅτι αὐτὸν διακονίαν θανάτου καὶ κατακρίσεως καλεῖται) παρὰ δὲ τοῖς πιστοῖς πολὺ διαφέροντος ἔργου ἔλαχεν.

Δ. Τοῦ ποίου δή;

Μ. Πρῶτον μὲν τοῦ διδάσκειν αὐτοὺς ὡς οὐχ οἷοί τε εἰσὶ τοῖς ἰδίοις ἔργοις δικαιωθῆναι, τὸν ὄγκον αὐτῶν καταστείλας, καὶ ἐξ ὑπερηφάνων ταπεινόφρονας ἀπεργασάμενος· ἑτοίμους ποιεῖ πρὸς τὸ ζητεῖν καὶ προσδέχεσθαι τὴν ἑαυτῶν σωτηρίαν παρὰ Χριστοῦ· εἶτα καὶ πολ-

λὰ μείζονα ἀπαιτεῖται αὐτοὺς ἢ κατὰ δύναμιν αὐτῶν, προστέτακται πρὸς τὸ δὴ εὐχερῶν αἰ-[illegible] ἑαυτοὺς παρὰ τοῦ Κυρίου· ἅμα δὲ ἐλέγχειν αὐτοὺς συνειδότας ἑαυτοῖς ὑπευθύνους οὖσι, καὶ ταῦτα ἵνα μὴ μεγαλοφρονῶσι· τελευταῖον δέ, ὥσπερ τινὶ χαλινῷ αὐτοὺς ἀναστέλλειν, ὥστε μὴ ἔξω τοῦ φόβου τοῦ Θεοῦ χωρεῖν.

Δ. Καίτοι γε ὅσον τῇ γῇ ἐνδιατρίβομεν χρόνον, οὐδέποτε τι τοῦ νόμου ἀκριβῶς καὶ τελείως φυλάσσεσθαι, οὐκ ἄνευ λόγου ὅμως οὔπω τελείως ἡμᾶς ἀξιοῖ εἶναι· δείκνυσι γὰρ ἡμῖν τὸν σκοπὸν ἐφ' ὃν ἡμᾶς βάλλειν χρή, ἵνα ἕκαστος ἐφ' ὅσον ἔτυχε τῆς τοῦ Θεοῦ χάριτος, ταύτης τῆς ἀκριβοῦς ὀρθότητος βίου στοχάζεσθαι πειραθῇ, καὶ τῇ ἄγαν σπουδῇ μείζονα προκοπὴν τῆς ἐπιβολῆς καθ' ἑκάστην ποιεῖν.

Μ. Ἐμοίγε δοκεῖ.

Δ. Οὐχὶ ἀκριβῆ ὅλης τῆς δικαιοσύνης σταθμὴν ὁ νόμος παρέχει;

Μ. Κομιδῇ· διὰ καὶ πρὸς τοῦτον μόνον ἀπευθύνειν ἡμᾶς τὸν ἡμέτερον βίον βούλεται, καὶ

εἰ τούτου πέρα προβαίνοντες καταπολμῶμέν τινος, τοῦτο ἐκεῖνος ἀποδοκιμάζει. οὐδενὶ γὰρ ἄλλῳ ἥδεται χαίρει ἢ ὑπακοῇ.

Δ. Τί οὖν ὄφελος τοσούτων παραινέσεων καὶ νουθετήσεων, ἔτι δὲ καὶ παραγγελμάτων, ἃ πανταχοῦ παρά τε τοῖς προφήταις ἅμα καὶ ἀποστόλοις ἐστὶν εὑρεῖν;

Μ. Οὐδὲν ἄλλο ταῦτ᾽ ἐστὶν ἢ ἐξηγήσεις τοῦ νόμου, αἵπερ οὐκ ἀποτρέπουσιν ἡμᾶς τοῦ φυλάττειν αὐτὸν, μᾶλλον δὲ ὥσπερ χειραγωγοῦσιν ἡμᾶς ἐπὶ τὴν τήρησιν αὐτοῦ.

Δ. Ἀλλὰ γὰρ οὐδὲν περὶ τῶν ἰδίων ἑκάστου ἐπιτηδεύματι καὶ διαγωγῇ ἐπιβαλλόντων διατάττεται.

Μ. Ἐξ ὧν ἐκέλευσε τὸ ἴδιον ἑκάστου ἀποδοῦναι, παντὶ ῥᾴδιον κατιδεῖν τίνα ἐστὶ τὰ τῷ ἐπιτηδεύματι αὐτοῦ καθήκοντα, πρὸς τούτοις δὲ (ὡς εἴπομεν) σποράδην κεῖνται ἐν τῇ ἱερᾷ γραφῇ ἑκάστου τῶν παραγγελμάτων διασαφήσεις. ἃ γὰρ ὁ Θεὸς ἐνταῦθα κεφαλαιωδῶς καὶ διὰ βραχέων εἴρηκε, ἀλλαχοῦ διὰ πλειόνων διεξέρχεται.

Περὶ τῆς προσευχῆς.

§. 34. Δ. Ἐπεὶ δὴ ἱκανῶς τὰ περὶ τοῦ δευτέρου μέρους τῆς τοῦ Θεοῦ τιμῆς διεξεληλύθαμεν, ὅπερ ἐστὶν ἐν τῷ τὰ προστεταγμένα ποιεῖν, ἑπόμενον ἂν τούτοις εἴη, τὸ τρίτον διεξελθεῖν μέρος.

M. Εἴπομεν ὅτι ἐκεῖνό ἐστι τὸ θεοκλυτεῖν, ὅταν ἐν ἀπορίᾳ ὦμεν, ὡς οὐδεμίαν ἄλλην καταφυγὴν ἔχοντας.

Δ. Ἆρα γε νομίζεις αὐτὸν μόνον ἐπικαλέσασθαι δεῖν;

M. Καὶ μάλα. τοῦτο γὰρ ἀπαιτεῖ παρ' ἡμῶν, ὡς προσῆκον ὂν καὶ ὀφειλόμενον τῇ αὐτοῦ θεότητι γέρας.

Δ. Εἰ ταῦθ' οὕτως ἔχει, πῶς θέμις ἡμῖν ἐστι τοὺς ἀνθρώπους προσκαλεῖν ἀρήξοντας;

M. Πολλῷ γε ταῦτα ἀλλήλοιν διαφέρει. Θεὸν γὰρ ἐπιβοώμενοι, φανερὸν ἅπασι ποιούμεθα ὅτι οὐδὲν ἀγαθὸν παρ' οὐδενὸς ἄλλου

προσδο-

προσδοκῶμεν, ἀλλ' εἰς αὐτὸν μόνον πάντα ἡμῖν ἀνάκειται. οὐδὲν δὲ ἧττον ἐπὶ τὴν τῶν ἀνθρώπων ἐπικουρίαν καταφεύγομεν, καθόσον ἡμῖν συγχωρεῖ ὁ Θεὸς, ὁ καὶ δυνατοὺς αὐτοὺς ποιήσας βοηθῆσαι ἡμῖν.

Δ. Σὺ οὖν λέγεις ὅτι εἰ καὶ τὴν ἀνθρώπων βοήθειαν προσκαλοῦμεν, ὅμως Θεὸν μόνον ἐπικαλούμεθα, ἅτε δὴ οὐκ ἔχοντες ἐλπίδας ἐπ' αὐτοῖς, μόνον δὲ ἐπικαλούμενοι αὐτοὺς καθόσον ὁ Θεὸς ὑπηρέτας καὶ διακόνους τῶν ἑαυτοῦ δωρεῶν καὶ εὐεργεσιῶν κατέστησεν, ἵνα παρ' ἐκείνων αὐτὰς δεχώμεθα.

Μ. Σύμψηφος τοῖς σοῖς λόγοις εἰμί. λέγω γὰρ ὅτι ὅσα εὐποιοῦσιν ἡμᾶς οἱ ἄνθρωποι, Θεῷ ἀνατιθέναι προσήκει, ὡς πρὸς τὸ πάντα ταῦτα ἡμῖν χαρίζεσθαι ὑπηρέταις αὐτοῖς χρωμένῳ.

Δ. Τί δέ; οὐχὶ δεῖ ὅμως τοῖς εὐεργετοῦσιν ἡμᾶς τῶν ἀνθρώπων εἰδέναι χάριν, ἄλλως τε καὶ ἐπεὶ τὸ κατὰ φύσιν δίκαιον καὶ ὁ τῆς φιλανθρωπίας νόμος πρὸς τοῦτο ἡμᾶς παρακαλεῖ;

Μ. Δεῖ

M. Δεῖ γάρ, εἰ καὶ δι' οὐδὲν ἄλλο, ἀλλά-
γε ὅτι τοσαύτης ὑπὸ τοῦ Θεοῦ τιμῆς ἀξι-
ωθῆναι, ὥστε ἐκ τῆς ἀενάου πηγῆς τῆς ἐλευ-
θεριότητος αὐτοῦ ἀναβλύζει ἀγαθά, διὰ τῶν
χειρῶν ἐκείνων, ὁμοίως δὲ ὀχετῶν τινῶν, εἰς
ἡμᾶς παροχετεύεσθαι. τοῦτο γὰρ ποιῶν, βούλεται
ἡμᾶς αὐτῶν ἐξηρτῆσθαι, καὶ χάριν αὐτοῖς ὡς
εὐεργέταις ὁμολογεῖν. τοιγαροῦν ὁ πρὸς ἀν-
θρώπους ἀχάριστος ὤν, ἅμα καὶ πρὸς τὸν Θεὸν
ἀχάριστος φανερός ἐστι.

Δ. Οὐκοῦν ἐκ τούτων καταλαβεῖν δυνάμεθα
ὅτι οὐ θέμις ἐστὶν οὐδὲ τοὺς ἀγγέλους, οὐδὲ
τοὺς ἁγίους τῶν ἀνθρώπων ἐπικαλέσασθαι,
τοὺς μεταλλάξαντας τὸν βίον;

M. Δυνάμεθά γε. καὶ γὰρ τοῖς μὲν ἁγί-
οις οὐκ ἐνεχείρισεν ὁ Θεὸς τοῦτο τὸ ἔργον,
τὸ βοηθεῖν ἡμῖν· τοὺς δὲ ἀγγέλους, καίτοι
ὑπηρέτας κατεστήσατο τῶν ἐπὶ τῇ σωτηρίᾳ
ἡμετέρᾳ, οὐ βούλεται ὑφ' ἡμῶν ἀρωγοὺς κα-
λεῖσθαι.

Δ. Ὅπως οὖν μὴ συμφωνεῖ τοῖς τοῦ Θεοῦ

διὰ πράγματα, ἀπαιτῶσιν αὐτῷ;

M. Μάλιστα· διότι τοῖς ὑπὸ Θεοῦ παραδοθεῖσιν ἐν εὐαγγελίοις, τοῖς ἀπιστίαις σαφὲς τεκμήριον παρέχομεν. πρὸς δὲ τούτοις, εἰ (δέον πρὸς μόνον τὸν Θεὸν καταφεύγειν, ὥσπερ κελεύει) τοὺς ἁγίους καλουμένους, ἢ τοὺς ἀγγέλους ἐπικαλούμεθα, ἐλπίδας τινὰς καὶ ἐπ' αὐτοῖς ἔχοντες, εἰδωλολατροῦντες ἁλισκόμεθα, ὅτι δὴ μεταδιδόντες αὐτοῖς ὅπερ ὁ Θεὸς ἀλλ' οὐκ ἄλλως ἐξιδιοποιεῖται.

§. 35. Δ. Ἄγε δή, λέγωμεν περὶ τοῦ πῶς δεῖ προσεύχεσθαι. πότερον ἁπλῇ γλώττῃ προσευχὰς ποιεῖσθαι, ἢ καὶ αὐτὰς ἐκ καρδίας ποιητέον;

M. Τῆς μὲν γλώττης οὐκ ἀεὶ δέονται αἱ εὐχαί, νοὸς δὲ καὶ ἀγαθῆς διαθέσεως τῆς καρδίας πάντοτε.

Δ. Πῶς δέ μοι τοῦτο πιστώσασθαι ἔχεις;

M. Ἐπειδὴ ὁ Θεὸς Πνεῦμά ἐστι, πρὸς τὴν καρδίαν ἀεὶ ἀφορᾷ, μάλιστα δὲ ἐν ταῖς

ἡμετέραις

ἡμετέραις εὐχαῖς, δι' ὧν αὐτῷ διαλεγόμε-
θα. διὸ καὶ μόνοις τοῖς ἐν ἀληθείᾳ ἐπικαλου-
μένοις αὐτὸν ἐγγὺς ἔσεσθαι ὑπισχνεῖται, τοὐ-
ναντίον δὲ καταρᾶσθαι τοῖς μὴ ἐκ καρδίας
ἀλλὰ προσποιητῶς καὶ πεπλασμένως αὐτῷ
προσευχομένοις.

Δ. Οὐδενὸς οὖν ἄξιαι ἔσονται ἅπασαι αἱ
εὐχαὶ ἃς ἂν γλώττῃ μόνον ποιησώμεθα.

Μ. Οὐ μόνον οὐδενὸς ἄξιαι τυγχάνουσιν
οὖσαι, ἀλλὰ καὶ αὐταῖς ὁ Θεὸς πάνυ δυσαρε-
στεῖται.

Δ. Πῶς οὖν ἡμᾶς διακεῖσθαι δεῖ ὅταν
προσευχώμεθα;

Μ. Πρῶτον μὲν τὴν ἡμῶν ἔνδειαν καὶ
ἀπορίαν εἰς νοῦν βάλλεσθαι δεῖ, καὶ ταύτης
αἰσθάνεσθαι, αἰσθομένους δὲ, λύπῃ σφοδρᾷ
καταπονεῖσθαι· εἶτα δὲ τοσούτῳ πόθῳ κατέ-
χεσθαι τοῦ Θεὸν ἡμῖν ἵλεων καὶ εὐμενῆ καταστῆ-
σαι, ὡς τούτῳ ἐκκαίεσθαι τὰς ἡμετέρας καρ-
δίας πρὸς τὸ προσεύχεσθαι αὐτῷ.

Δ. Πότερον δὲ ἔμφυτος τῇ τῶν ἀνθρώ-

πων φύσει, ἐστὶ τοιαύτη τῆς καρδίας διαθέσις, ἢ αὐτοῖς διὰ τῆς τοῦ Θεοῦ χάριτος προσγίγνεται;

Μ. Δῆλον ὅτι πρὸς τοῦτο τῆς τοῦ Θεοῦ ἐπιποιίας δεόμεθα. Ὁ γὰρ πρὸς τοῦτον ἐχθρότερον παντάπασιν ἀναισθήτως ἔχομεν· ἀλλὰ τὸ τοῦ Θεοῦ Πνεῦμα πρὸς στεναγμοῖς ἀλαλήτοις ἡμᾶς προτρέπει, καὶ ταῖς ἡμετέραις καρδίαις τὴν ἀρέσκουσαν τῷ Θεῷ ἐν ταῖς ἡμετέραις εὐχαῖς διάθεσιν ἐμποιεῖ, ὥσπερ καὶ Παῦλος φησί.

Δ. Ἆρα οὖν ἐντεῦθεν διδασκόμεθα ὅτι οὐχ ἡμέτερόν ἐστιν ἔργον ἑαυτοὺς ὀτρύνειν καὶ παρορμᾶν πρὸς τὸ προσεύχεσθαι, ἀλλὰ ῥαθυμοῦντας καὶ ὑπτιάζοντας τὴν τοῦ Πνεύματος παρόρμησιν προσδοκᾶν δεῖ;

Μ. Ἥκιστά γε· πᾶν δὲ τοὐναντίον ἐντεῦθεν μανθάνουσιν οἱ πιστοί, τὸ δεῖν ὁσάκις ἂν αἰσθάνωνται ἑαυτῶν πρὸς τὰς εὐχὰς ἀπορραθυμούντων, πρὸς Θεὸν καταφεύγειν, καὶ δεῖσθαι αὐτοῦ τοῖς ἐμπύροις τοῦ Πνεύματος αὐτοῦ

κέντροις

κάνητερεν τὴν ἡμετέραν καρδίαν ἐκκαθαίρειν ἵνα ἐπιτήδειοι πρὸς τὸ προσεύχεσθαι ἀποδειχθῶσι.

Δ. Οὐ μὴν πάντῃ ἀφελὴς οὐδὲ ἡ τῆς γλώττης ἐν ταῖς προσευχαῖς ἐστί.

Μ. Οὐ δῆτα· τὸ γὰρ ἔστιν ὅτε τὴν καρδίαν ἐγείρει, καὶ κωλύει πῶς ἀφίστασθαι τοῦ Θεοῦ βουλομένην. χωρὶς δὲ τούτου, ἐπειδὴ ἡ γλῶττα μᾶλλον τῶν ἄλλων μελῶν ἐπὶ τῇ τοῦ Θεοῦ δόξῃ ἐπλάσθη, εἰκὸς ἄρα αὐτὴν πᾶσαν σπουδὴν περὶ ἐκείνης ποιήσασθαι. καὶ μὴν δὴ καὶ πολλάκις ἔξω τοῦ προθύμου τῆς καρδίας τὸ ῥῆμα λανθάνει φθεγγόμενον.

Δ. Εἰ ταῦθ' οὕτως ἔχει, τί χρὴ λέγειν περὶ τῶν ἐν ταῖς εὐχαῖς ξένοις καὶ ἀγνώστοις ῥήμασι χρωμένων;

Μ. Φανερὸν ὅτι διὰ τούτων οὐδὲν ἄλλο ἢ ἐνυβρίζουσι τῷ Θεῷ. διὸ δὲ χρεώρ ἐστιν οἱ Χριστιανοὶ ταύτην τὴν ὑπόκρισιν ἐάσωσιν.

§. 36. Δ. Ἀλλ' ἄρα εὐχομένους ἡμᾶς ἄδηλον δεῖ προσδοκᾶν τὴν ἀπόβασιν, ἢ

πεπει-

πεπεῖσθαι ὅτι τὴν εὐχὴν ὁ Θεὸς εἰσακούσεται;

M. Οὕτως πεπεισμένοι πάντοτε τῶν εὐχῶν θεμέλιος, πεπεῖσθαι ὅτι ὁ Θεὸς τὰς εὐχὰς ἐπιτελέσει, ἃς ποιούμεθα παρ' ἐκείνου ἅπερ ἂν αἰτησώμεθα, ἢ διὰ μέλλει ἡμῖν τὰ αἰτηθέντα συνοίσειν. Διὸ καὶ ὁ Παῦλος τὴν ἀληθῆ ἐπίγνωσιν Θεοῦ ἀπὸ τῆς πίστεως ἄρχεσθαι λαμβάνειν φησί· καὶ γὰρ ἐὰν μὴ τῇ τοῦ Θεοῦ ἀγαθότητι πεποιθότες ὦμεν, οὐχ οἷοί τε ἐσμὲν προσηκόντως αὐτὸν ἐπικαλέσασθαι.

Δ. Τί οὖν ἀπολαύουσι τὴν προσευχὴν οἱ μετὰ δισταγμοῦ προσευχόμενοι, καὶ περὶ τῆς γινομένης ἐκ τῶν λιτῶν ὠφελείας οὐ θαρροῦντες, ἀλλὰ καὶ ἐνδοιάζοντες πότερον ὁ Θεὸς εἰσακούει αὐτῶν, ἢ οὔ;

M. Οὐδεμίαν ὠφέλειαν φέρουσιν αὐτοῖς αἱ εὐχαί, ἅτε δὴ οὐδεμιᾶς ὑποσχέσεως ἐπερειδόμεναι. κελευόμεθα γὰρ πιστεύοντες αἰτεῖν ἅμα δ' ὅτι ἡ ὑπόσχεσις προστίθεται, τὸ τεύξεσθαι ἡμᾶς τῶν μετὰ πίστεως αἰτηθέντων.

Δ. Ὡρα

Δ. Ἆρα οὖν ἴσμεν τινὶ τρόπῳ, τῆς τοῦ Θεοῦ προσόψεως παντελῶς ἀνάξιοι ὄντες, θαῤῥοῦντες αὐτῷ προσιέναι δυνάμεθα.

Μ. Πρῶτον μὲν, ἔχομεν ταῖς ὑποσχέσεις, αἷς ἡμᾶς ἐναναπαύεσθαι χρὴ, μὴ ἐξετάζοντας τίνος ἄξιοι ἐσμέν. ἔπειτα δὲ, εἰ Θεοῦ τέκνα ἐσμὲν, ἀναπείθει ἡμᾶς διὰ τοῦ Πνεύματος αὐτοῦ, ἀποτολμᾶν προσέρχεσθαι αὐτῷ ὡς πατρί. ἵνα δὲ μὴ ἡμεῖς ἐν τῇ τῶν ἡμετέρων ἁμαρτημάτων συνειδήσει πιεζόμενοι, καὶ οὐδὲν ἄλλο ἢ σκώληκες ὄντες, τὴν ἔνδοξον αὐτοῦ μεγαλειότητα ἐν ὀῤῥωδίᾳ ἔχωμεν, τὸν Χριστὸν ἡμῖν μεσίτην δίδωσιν, ἵνα ἐκείνου ἡμᾶς εἰσάγοντος, περὶ τοῦ τεύξεσθαι τῆς χάριτος πεπεισμένοι ὦμεν.

Δ. Ἆρα οὖν νομίζεις ἐπ' ὀνόματι μόνον τοῦ Χριστοῦ τὸν Θεὸν ἐπικαλέσασθαι δεῖν;

Μ. Πάνυ γε. τοῦτο γὰρ ἡμῖν διαῤῥήδην προστέτακται. καὶ ὑποσχέσις τῷ προστάγματι προσέζευκται, ὅτι μεσίτου ὄντος ἐκείνου ὁ Θεὸς τὰς ἡμετέρας εὐχὰς ἐπιτελέσει.

Δ. Οὐκοῦν

Δ. Θυσιῶν ἀβελτερίας ἢ ὑπερηφανίας ἐγκαλεῖσθαι δεῖ ὅστις τοῦτο τῷ μόνῳ τῷ μεσίτῃ θαρσίμως, ὡς φίλον πρόσεισι τῷ Θεῷ, καὶ τοῦτον μόνον τῶν τε Θεῶν καὶ ἑαυτῶν παρίστησι, δι' ὃν [illegible] μεγάλη.

Μ. Οὐ μὲν οὖν. ὁ γὰρ οὕτω προσευχόμενος φαίνεται πως διὰ τοῦ στόματος ἐκείνου τοῦτο ποιῶν. οἶδε γὰρ τὴν ἑαυτοῦ δέησιν τῇ ἐκείνου ἐντεύξει καὶ συνηγορίᾳ συνιςαμένην.

§. 37. Δ. Λέγωμεν δή τι περιέχειν χρὴ τὰς τῶν πιστῶν εὐχάς. ἆρα ἔξεστι πᾶν τὸ εἰς νοῦν ἐλθὸν αἰτεῖν παρὰ Θεοῦ, ἢ ὅρῳ τινὶ τὰς τῶν εὐχῶν περιεσφίγξασθαι;

Μ. Εἰ εὐχόμενοι, τῷ θυμῷ καὶ ταῖς ἡμῶν ἐπιθυμίαις ἐβουλόμεθα χαρίζεσθαι, οὐκ ἂν περὶ τὰς εὐχὰς ἐσωφρονοῦμεν. καὶ γὰρ ἀμαθέστεροί ἐσμεν ἢ ὥστε τὰ ἡμῖν λυσιτελοῦντα διακρίνειν δύνασθαι. καὶ οὕτως ἄλογός ἐστιν ἡ ὁρμὴ τῶν ἐπιθυμιῶν ἃς νοσοῦμεν, ὥστε πᾶσαν ἀνάγκην ἔχειν χαλινοῦσθαι.

Δ. Τί οὖν εἰς τὰς εὐχὰς πρὸ ὁδοῦ γένοιτο ἄν;

Μ. Αὐτοὶ

M. Αὐτὸν τὸν Θεὸν ἀρχὴν τὰ συμφέροντα ἡμῖν ὑφηγεῖσθαι, καὶ ἡμᾶς αὐτοῦ αἰτεῖν χρεα-[illegible] καὶ [illegible] λέξεών τι ἐκκαλυφθέν.

Δ. Τίνα ἡμῖν κανόνα προὔθηκεν;

M. Εὑρίσκεται μὲν καὶ ἄλλα πολλὰ κατὰ πᾶσαν τὴν ἱερὰν γραφὴν εἰς τοῦτο φέροντα διδάγματα· ἵνα δὲ ἔχωμεν τινα σκοπὸν πρὸς ὃν ἀποβλέπωμεν, ἡμῖν τύπον τινὰ ἔδωκε, καὶ ὡσπερεὶ ὑπαγόρευσιν, κεφαλαιωδῶς περιέχοντα ὅσα ἡμῖν ἔξεστι καὶ συμφέρει αἰτήσασθαι παρ᾽ αὐτοῦ.

Δ. Λέγε δὴ αὐτόν.

M. Τῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαθητῶν δεηθέντων αὐτοῦ ἵνα διδάξῃ αὐτοὺς προσεύχεσθαι, ἀπεκρίνατο· Ὅταν προσεύχησθε, λέγετε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς

ὀφειλέταις

ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δ. Ἵνα φανερὸν ἡμῖν γένηται ἡ περιοχὴ, εἰς κεφάλαια διαιρῶμεν αὐτήν.

Μ. Ἓξ δὴ τὰ πάντα, ὧν τὰ μὲν τρία τὰ πρῶτα τῆς τοῦ Θεοῦ δόξης φροντίζεται μόνον, οὐδένα ἡμῶν λόγον ἔχοντα· τὰ δὲ λοιπὰ πρὸς ἡμᾶς καὶ πρὸς τὴν ὠφέλειαν ἡμῶν ἀναφέρεται.

Δ. Τί οὖν, ἡμᾶς παρὰ Θεοῦ εὔχεσθαι τι προσήκει ὅπερ ἂν οὐδὲν ἀπολαύεσθαι μέλλοιμεν;

Μ. Αὐτὸς, κατὰ τὴν ἀνεκδιήγητον αὐτοῦ ἀγαθότητα, οὕτως οἰκονομεῖ καὶ κυβερνᾷ τὰ πάντα, ὥστε δι᾽ ἑκάστου τέλος εἰς τὴν αὐτοῦ δόξαν φερόμενα τὰ πρὸς τὴν ἡμετέραν σωτηρίαν κατασκευάζειν· συμφερόντως ἁγιαζομένου τοῦ ὀνόματος αὐτοῦ, ἀγαθὰ εὐθέως καὶ ἡμῖν ποιεῖ· ὁμοίως δὲ καὶ ἐλθοῦσα ἡ βασιλεία αὐτοῦ ἡμῖν, μετέ-

χειν

χόμεθα πάσας ἡμεῖς ταύτης· δεῖ δὲ ὅμως ὅλα ταῦτα αἰτοῦμεν, πρὸς τὴν ἐκείνου δόξαν πάντως ἀποβλέπειν, πρὸς δὲ τὴν ἡμετέραν ὠφέλειαν μηδ᾽ ὅλως.

Δ. Κατὰ οὖν τὸν σὸν λόγον, ταῦτα τὰ τρία αἰτήματα ἐπ᾽ ἀγαθῷ μὲν ἐστὶν ἡμετέρῳ, ἡμᾶς μέντοι τῆς τοῦ Θεοῦ δόξης μόνον ἐφίεσθαι προσήκει δι᾽ αὐτῶν.

Μ. Ἀληθῆ· ὥσπερ δὲ καὶ ἐν τοῖς λοιποῖς τρισί, καίτοι αἰτοῦνται ἡμῶν ἴδια τὰ πρὸς τὴν ἡμετέραν ὠφέλειαν τείνοντα, οὐδὲν ἧττον τῆς τοῦ Θεοῦ δόξης λόγον ἔχειν χρή, καὶ πρὸς ταύτην πάντα ὧν ἂν ἐπιθυμήσωμεν, ἀναφέρειν.

§. 38. Δ. Ἴθι δή, τῇ ἐξηγήσει ταύτης τῆς προσευχῆς ἐγχειρῶμεν· πρῶτον δέ μοι φράσον διὰ τί ὁ Θεὸς τῆς τοῦ πατρὸς προσηγορίας μᾶλλον ἢ τινὸς ἄλλης ἀξιοῦται.

Μ. Ἐπειδὴ προσευχομένων ἡμῶν, ἀνάγκη τὰς ἡμῶν συνειδήσεις βεβηκυίας εἶναι καὶ στερρὰς τὴν πίστιν, πατρὸς ὄνομα παρεπίθησιν ἑαυ-

τῷ

τῷ, διότι πολλὴν χρηστότητα καὶ εὔνοιαν τὴν πρὸς ἡμᾶς ὑποδηλοῖ, ἵνα πάντα φόβον ἀποθέμενοι, θαῤῥοῦντες αὐτῷ, ὡς εὐμενεῖ ἡμῖν ὄντι, προσερχώμεθα.

Δ. Ἆρα οὖν τολμήσομεν ἀδεῶς προσιέναι τῷ Θεῷ, ὡς παῖδες τῷ πατρὶ προσέρχεσθαι φιλοῦσι;

Μ. Πάνυ μὲν οὖν· ἀλλὰ καὶ μᾶλλον ἐλπίσομεν παρ' αὐτοῦ τεύξεσθαι ὧν ἂν αἰτήσωμεν, ἢ παρ' ἐκείνων· εἰ γὰρ ἡμεῖς (κατὰ τὴν τοῦ ἡμετέρου διδασκάλου ὑποθήκην) πονηροὶ ὄντες, τοῖς ἡμετέροις υἱοῖς ἄρτον αἰτήσασιν οὐχ ὑπομένομεν ἀναίνεσθαι, πῶς ἂν ἡμᾶς δεομένους αὐτοῦ ἀπώσαιτο ὁ οὐράνιος πατὴρ, ὃς οὐ μόνον πατὴρ ἀγαθός ἐστιν, ἀλλ' αὐταγαθότης;

Δ. Οὐκοῦν καὶ ταύτῃ τῇ προστηρίᾳ τεκμαίρεσθαι ἔχομεν, δεῖν ἡμᾶς τῷ Θεῷ εὐχὰς προσενεγκεῖν τὰς τῇ τοῦ Χριστοῦ συνηγορίᾳ, ὡσπερεὶ θεμελίῳ ἐπεστηριγμένας, καθάπερ εἴρηται;

Μ. Καὶ

Μ. Καὶ μάλιστά γε· καὶ γὰρ οὐκ ἄλλως ἡμῖν τυχεῖν ἐπηγγελμένων παρ' αὐτοῦ, ἢ καθόσον τοῦ Χριστοῦ μέλη ἐσμέν.

Δ. Διὰ τί οὖν σὺ πατέρα ἴδιον ὀνομάζεις, ἀλλὰ κοινῇ, πατέρα ἡμῶν;

Μ. Οὐδὲν κωλύει μὲν ἕκαστον τῶν πιστῶν, πατέρα ἑαυτοῦ ἰδίως αὐτὸν καλεῖν, ἀλλ' ὁ Κύριος ἐνταῦθα ἀξιοῖ ἡμᾶς πατέρα ἡμῶν ἐν κοινῷ προσαγορεύειν αὐτόν, πρὸς τὴν τῆς ἀγάπης ἐν ταῖς εὐχαῖς ἀσκοῦσιν ἡμᾶς ἐθίζειν ἠθέλησεν, ἵνα μὴ ἕκαστος ἑαυτοῦ ἐπιμελούμενος, τῶν ἄλλων ἀφροντίστως ἔχῃ.

Δ. Τί σημαίνει τοῦτο τὸ ἐπισυναπτόμενον ῥησείδιον, Ὁ ἐν τοῖς οὐρανοῖς;

Μ. Ὅμοιόν ἐστιν ὡς εἰ ὕψιστον, μεγαλοδύναμον καὶ ἀκατάληπτον αὐτὸν ὀνομάζοιμι.

Δ. Πῶς τοῦτο φής;

Μ. Μανθάνομεν γὰρ ἐντεῦθεν, ὅτι ἐπικαλούμενοι ἡμεῖς τὸν Θεόν, προσήκει τὰς ἡμετέρας ψυχὰς ἄνω βλέπειν, ἵνα μὴ ἀνθρωπίνως καὶ ταπεινῶς περὶ αὐτοῦ διανοούμενοι,

τῇ

τῷ ἡμετέρῳ φωτίσαι αὐτὸν μὴ τοσοῦτον δὲ περιγεγράφθαι ἢ συγκεκλεῖσθαι ἐν ταῖς ἡμετέραις ἐπιθυμίαις αὐτὸν ἀξιοῦμεν, μᾶλλον δὲ τὴν ἔνδοξον αὐτοῦ μεγαλειότητα ἀναπτύσσεσθαι. ὅτι δὲ τοῦτο ἡμᾶς ἄγει πρὸς τὸ μᾶλλον αὐτῷ πεποιθέναι, ὅτι ὑπὲρ τοῦ διασώζειν, πάντων ἄρχειν καὶ τὰ πάντα κατὰ τὸ αὐτῷ ἀρέσκον διακυβερνᾶν ἐπιμαρτύρεται.

§. 39. Δ. Νῦν μοι τῆς πρώτης αἰτήσεως τὸ κεφάλαιον διασάφησον.

Μ. Τὸ τοῦ Θεοῦ ὄνομα καλεῖται ἡ παρ' ἀνθρώποις εὐδοξία αὐτοῦ· εὐχόμεθα οὖν, πανταχοῦ καὶ κατὰ πάντα εὐδοκιμεῖν αὐτὸν καὶ εὐδοξεῖν.

Δ. Πότερον οὖν ἡ τοῦ Θεοῦ δόξα τοιαύτη ἐστὶν οἵα αὔξεσθαι, ἢ μειοῦσθαι;

Μ. Οὐδ' αὔξησιν οὐδὲ μείωσιν λαμβάνειν αὐτὴν ἐνδέχεται, ὅσα γε καθ' ἑαυτήν· ἀλλ' εὐχόμεθα ἀοίδιμον καὶ περιβόητον αὐτὴν τοῖς ἀνθρώποις εἶναι, ὥσπερ καὶ ἄξιον, καὶ γνώσεσιν αὐτοὺς τὴν ἐπιφαινομένην πᾶσι τοῖς

τοῦ Θεοῦ ἔργοις δόξαν, ἵνα λάβωσιν ἀπὸ πάντων ἀφορμὴν τοῦ δοξάζειν αὐτόν.

Δ. Ἐν δὲ τῷ δευτέρῳ αἰτήματι τίνα νοεῖς τὴν βασιλείαν τοῦ Θεοῦ;

Μ. Δύο ἐστὶν ἐν οἷς θεωρεῖται μάλιστα· ὅτι δηλονότι τοὺς ἐκλεκτοὺς διὰ τοῦ Πνεύματος αὐτοῦ ἄγει καὶ κυβερνᾷ, καὶ ὅτι τοὺς κακοὺς, τοὺς ἀφηνιάζοντας τῆς δουλείας αὐτοῦ, κακῶς ἀπόλλυσιν, ἵνα φανερὸν ἅπασι γένηται ὅτι οὐδὲν πρὸς τὴν δύναμιν αὐτοῦ ἀνθίστασθαι δύναται.

Δ. Πῶς δὲ ταύτην τὴν βασιλείαν ἐλθεῖν εὔχῃ;

Μ. Ἵνα τὸν τῶν πιστῶν ἀριθμὸν καθ' ἑκάστην αὔξῃ ὁ Κύριος, καὶ ἀλλεπαλλήλοις τοῦ πνεύματος αὐτοῦ χαρίσμασι πλουτίζων αὐτοὺς οὐ παύηται, ἕως ἂν ἐκεῖνα ἐκπλέω αὐτοῖς παρέχῃ. ἔτι δὲ καὶ ἵνα τὴν αὐτοῦ ἀλήθειαν ἐπιπλεῖον φανεροῖ, ἐφ' ᾧ τὸ τοῦ διαβόλου σκότος ἀποσκεδασθῆναι· καὶ τὴν δικαιοσύνην αὐτοῦ πρόδηλον ποιῇ, ἐπὶ τῷ

πᾶσαν ἀδικίαν καταλύεσθαι.

Δ. Ἆρ' οὐχὶ ταῦτα ὁσημέραι ἐστὶν ἰδεῖν γινόμενα;

Μ. Γίνεται οὕτως ὥστε δεῖν ἡμᾶς λέγειν ὅτι ἄρχεται ἡ τοῦ Θεοῦ βασιλεία εἰληφέναι· τοῖς δ' ἀεὶ εὐχόμεθα ταύτην τὴν βασιλείαν συνεχῶς ἐπίδοσιν λαμβάνειν, ἕως ἂν ἐς τὸ ἄκρον ἀφίκηται ὃ τῇ ἐσχάτῃ ἡμέρᾳ μέλλει συμβαίνειν, ἐν ᾗ μόνος ὁ Θεὸς ὑψωθήσεται, κτισμάτων πάντων αὐτῷ ὑποταγέντων, αὐτός τε καὶ πάντα ἐν πᾶσιν ἔσται.

§. μβ. Δ. Πῶς δὲ εὔχῃ τὸ τοῦ Θεοῦ θέλημα γενηθῆναι;

Μ. Οὕτως ὥστε πᾶν κτίσμα [illegible] αὐτῷ εἶναι ὑπήκοον, ἵνα μηδὲν παρ' ὃ ἂν αὐτῷ δοκῇ γένηται.

Δ. Ἆρα οὖν νομίζεις ὅτι ἐνδέχεταί τι ποιεῖν παρὰ τὴν τοῦ Θεοῦ γνώμην;

Μ. Οὐκ αἰτούμεθα ἁπλῶς ἵνα ἐπιτελῇ πάντα τὰ διεγνωσμένα αὐτῷ, ἀλλὰ καὶ ἵνα πᾶσαν ἀπείθειαν πρόρριζον ἀποσπάσας, πᾶν θέ-

θέλημα πρὸς τὸ ἐκείνου ἐφαρμόζῃ, ἐν αὐτῷ ἐντεθεὶς ἀφανίζηται.

Δ. Οὐκοῦν, ὅταν τοῦτο εὐχώμεθα, ταῖς ἡμετέραις ἐπιθυμίαις ἀποταττόμεθα;

Μ. Ἔγωγέ φημι· ἵνα δηλαδὴ οὐ μόνον τὰς ἐν ἡμῖν ἀλόγους ὁρμὰς, τὰς τῷ θελήματι αὐτοῦ ἐναντιουμένας, ἀναστάτους ποιῇ, ἀλλὰ καὶ ἵνα καινὴν διάθεσιν ταῖς ἡμετέραις καρδίαις ἐμβάλλῃ· ὡς μηδὲν ἡμᾶς ἀφ' ἑαυτῶν βούλεσθαι, ἀλλὰ τὸ βούλημα ἡμῶν, βούλημα εἶναι τοῦ ἐνοικοῦντος ἐν ἡμῖν Πνεύματος αὐτοῦ, ὅπως ἂν κατὰ πάντα σύμφρονοι ὦμεν αὐτῷ.

Δ. Τίνος δὲ χάριν προστίθεται τό, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς;

Μ. Ἐπειδὴ τὰ οὐράνια κτίσματα αὐτοῦ, λέγω δὲ οἱ ἄγγελοι, πᾶσαν σπουδὴν ποιοῦνται ἐπὶ τῷ προθύμως αὐτῷ πείθεσθαι, καὶ ἀπροφασίστως ἐν πᾶσιν ὑπηρετεῖν, εὐχόμεθα τοῦτο ὁμοίως γίνεσθαι ἐν τῇ γῇ, τὸ δηλονότι ἕκαστον ἡμῶν προθυμεῖσθαι πειθαρχεῖν αὐτῷ.

§. 41. Δ. Ἄγε

§. 41. Δ. Ἄγε δὴ, ἐπεὶ τὸ δεύτερον ἀρχόμεθα μέρος, τί σημαίνει ὁ ἐπιούσιος ἄρτος ἐν αὐτοῖς;

Μ. Πάντα δηλοῦται ὅσων χρείαν ὁ παρὼν βίος ἔχει· οὐ μόνον δὲ τὰ πρὸς τροφὴν καὶ τὸν ἱματισμὸν ἀναγκαῖα, ἀλλὰ καὶ ὅσ' ἄλλα ὧν προσδεόμεθα, πρὸς τὸ ἐν ἡσυχίᾳ καὶ ἄνευ θορύβου ἐσθίειν τὸν δοθέντα ἄρτον.

Δ. Ἀλλὰ διὰ τί παρὰ Θεοῦ τοῦτο εὐχῇ λαβεῖν, ὃ τοῖς ἰδίοις πόνοις ἡμᾶς πορίζειν ἀξιοῖ;

Μ. Εἰ καὶ ἡμᾶς ταῖς ἐπιμελείαις πόνοις καὶ ἱδρῶτι πορίζεσθαι προσήκει, ὅμως γε οὐ διὰ τῆς ἡμῶν ἀγχινοίας οὐδὲ φιλοπονίας τρεφόμεθα, ἀλλὰ μόνον διὰ τῆς εὐλογίας τοῦ Θεοῦ, δι' ἧς οἱ κάματοι ἡμῶν εὐτυχοῦσιν, οἱ ἄλλως ἀπέραντοι ἂν γενόμενοι. ἔτι δὲ καὶ τοῦτο νοεῖν ἄξιον, ὅτι οὐ τὰ σιτία ἐστὶ τὰ τρέφοντα ἡμᾶς τῇ ἑαυτῶν οὐσίᾳ, κἂν ἄφθονα παρῇ, ἀλλ' ἡ τοῦ Θεοῦ δύναμις· οὐ γὰρ ἐκείνοις ἡ τρόφιμος ἐμπέφυκε δύναμις, ἀλλ' ὁ Θεὸς

ἀν ὀνειδισμοῦ ταύτην αὐτοῖς, ὥσπερ τισὶ τῆς ἑαυτοῦ ἐλευθεριότητος ὀργάνοις, καταπέμπει.

Δ. Πῶς δὲ σὸν ἄρτον καλεῖν εἰκὸς ὂν σοι παρὰ τοῦ Θεοῦ δίδοσθαι εὔχῃ;

Μ. Ὅτι τῇ τοῦ Θεοῦ ἀγαθότητι ἡμέτερος γίγνεται, καίτοιγε μὴ ὀφειλόμενος ἡμῖν. ἔπειτα δὲ καὶ μανθάνομεν ἐντεῦθεν τὸ μὴ δεῖν τοῦ ἀλλοτρίου ἄρτου ἐπιθυμεῖν, ἀλλὰ στέργειν ἐκείνῳ ὃ ἂν ἡμεῖς τὰ δέοντα πράξαντες, οἷον ἐκ τῆς τοῦ Θεοῦ χειρὸς δεξώμεθα.

Δ. Τίνος δὲ χάριν προστίθης τὸ ἐπιούσιον καὶ τὸ σήμερον;

Μ. Ἵνα παιδευθῶμεν μὴ δεῖν πλείω τῶν ἀναγκαίων αἰτήσασθαι.

Δ. Δέον πάντας ταύτῃ τῇ προσευχῇ χρῆσθαι, πῶς οἱ πλούσιοι τῶν ἀνθρώπων, οἱ πολὺν βίον εἰς μακρὸν χρόνον ταμιευσάμενοι, τὰ πρὸς ἡμέραν μίαν ἀναγκαῖα αἰτήσουσι;

Μ. Τοῦτο πλουσίους ἅμα καὶ πένητας πεπεῖσθαι χρὴ ὅτι οὐδὲν ὧν κέκτηνται, αὐτοὺς ὠφελεῖν δυνήσεται, εἰ μὴ ἐφόσον ἂν ὁ Θεὸς τὸ δύ-

νασθαι

νεσθαι τούτοις χρῆσθαι παρέχῃ, ἢ τῇ αὐτοῦ χειρὶ τὴν τούτων χρῆσιν ὀνήσιμον αὐτοῖς καταστήσῃ. τούτων δὲ οὕτως ἐχόντων, καίτοι πάντα κεκληκότες, οὐδὲν ἔχομεν πλέον ἢ ὅσα ὁ Θεὸς τῇ ἰδίᾳ χειρὶ ἡμῖν καθ' ἑκάστην ὥραν παρέχει, ἐφόσον γε ἐν χρείᾳ τυγχάνομεν ὄντες.

§. 42. Δ. Τί αἰτοῖς ἐν τῷ πέμπτῳ κεφαλαίῳ;

Μ. Τὸ συγγνώμης τῶν ἁμαρτιῶν παρὰ τοῦ Κυρίου τυχεῖν.

Δ. Ἆρ' οὐδεὶς τῶν ἀνθρώπων εὑρίσκοιτο ἂν οὕτω δίκαιος ὥστε μηδὲν ταύτης τῆς συγγνώμης δεῖσθαι;

Μ. Μηδαμῶς. τοῦτον γὰρ τῆς προσευχῆς τύπον τοῖς ἰδίοις ἀποστόλοις προθεὶς, ἅμα καὶ ὅλῃ τῇ ἐκκλησίᾳ κατέλιπε. διὸ καὶ ὅστις ταύτης τῆς ἀνάγκης ἀπηλλάχθαι βουλήσεται, τοῦτον τῇ τῶν πιστῶν κοινωνίᾳ ἀποτάξασθαι δεῖ. ἄλλως τε καὶ ἐπεὶ τῆς ἱερᾶς γραφῆς ἀκούομεν λεγούσης, ὅτι ὃς ἂν ἑνὸς ἐγκλήματος καθαρὸν αὐτὸν ὄντα δεῖξαι θέλῃ τῷ

Θεῷ, χείλια ἄλλα ἐπισυχθήσονται αὐτῷ· οὐδεμία οὖν ἄλλη πλὴν τοῦ ἐλέους αὐτοῦ λείπεται ἡμῖν ἀποστροφή.

Δ. Πῶς δὲ νομίζεις ἀφίεσθαι ἡμῖν τὰς ἁμαρτίας;

Μ. Ὡς τὰ τοῦ Χριστοῦ ῥήματα ἐμφανίζει. τὰ μὲν γὰρ ἡμέτερα πλημμελήματα ὀφειλαί εἰσι, δι' ἃς τὸν αἰώνιον θάνατον κατεκρίθημεν, καὶ τούτῳ ἔνοχοι ὄντες διατελοῦμεν· ἕως ἂν ἀπὸ τῆς ἰδίας ἐλευθεριότητος ἐκείνας ἡμῖν καταχαρίσηται.

Δ. Σὺ οὖν λέγεις ἡμᾶς συγγνώμης τῶν ἀδικημάτων τυχεῖν δωρεὰν καὶ διὰ τὸ τοῦ ἐλέους τοῦ Θεοῦ μόνον, ἅτε δὴ μηδεμίαν ἀντίδοσιν παρ' ἡμῶν λαβεῖν δυναμένου.

Μ. Ἔγωγε· καὶ γὰρ οὐκ ἂν ἱκανοὶ εἴημεν οὐδὲ ὑπὲρ τοῦ ἐλαχίστου τῶν ἡμετέρων ἁμαρτημάτων ἀποτῖσαι· ἀνάγκη οὖν ἐστὶ τὸν Θεὸν ἡμῖν διὰ μόνον τὸ ἐλεητικὸν αὐτοῦ συγγινώσκειν.

Δ. Τί δὲ ὄφελος ἡμῖν ἐκ τοῦ συγγνώμης τῶν πλημμελημάτων τυχεῖν παρὰ Θεοῦ;

Μ. Τότε

Μ. Τότε μὲν ἡμεῖς ὅλως ἀμέτοχοι ἐσόμεθα αὐτῆς ὡς ἄδεκτοι καὶ ἀμετάδοτοι ὄντες. ἅμα δὲ καὶ τοῦτο τὴν πατρικὴν αὐτοῦ πρὸς ἡμᾶς εὔνοιαν ταῖς τῶν μετόχοις ψυχαῖς πιστοῦται καὶ βεβαιοῖ, ἣν σωτήριον εἶναι ἡμῖν φέρει.

Δ. Οὗτος ὁ προστεθειμένος ἐπιλογισμός, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. ἆρα δηλοῖ ἀξίους ἡμᾶς εἶναι συγγνώμης τυχεῖν παρ' αὐτοῦ, ἐὰν καὶ αὐτοὶ τοῖς ἀνθρώποις συγγινώσκωμεν;

Μ. Ἥκιστα· οὕτω γὰρ οὐδὲ ἂν προῖκα ἐδίδοτο ἄφεσις, καὶ οὐκ ἂν ἦν μόνον τίμιον τοῦ Χριστοῦ ἀπότισιν, τοῦ τὸ οἰκεῖον αἷμα ἐπὶ σταυροῦ τιμὴν ὑπὲρ ἡμῶν καταβαλόντος, θεμέλιον ἔχουσα· ἀλλὰ καθόσον ἡμεῖς, τῇ πρὸς ἀλλήλους ἀμνηστίᾳ τῆς ἐκείνου πραότητος καὶ χρηστότητος μιμηταί ἐσμεν, καὶ οὕτω φανερὸν ποιούμεθα ὅτι ἐκείνου τέκνα ἐσμέν, τούτῳ ὡσανεὶ συνθήματι τὴν ἡμῶν πίστιν βεβαιῶσαι ἠθέλησε, καὶ διδάσκειν ὅτι ἐὰν πάλιν μὴ πρᾶοι καὶ συγγνωμονικοὶ ὦμεν, πάντως προσδο-

κᾶν

καὶ μετ' ἀποτομίας χρήσεσθαι εἰς ἡμᾶς αὐτόν.

Δ. Σὺ μὲν ἀποφαίνεσθαι ἔοικας ὅτι ὁ Θεὸς ἐθέλει καὶ τοῖς ἑαυτοῦ παισὶν ἐπιγράφειν οὐκ ἀξιοῖ ὅσοι μνησικακεῖν (οὐ δύνανται) ἀλλὰ καὶ οὐ δεῖν ἐλπίζειν αὐτοὺς τεύξεσθαι συγγνώμης παρὰ Θεοῦ.

Μ. Οὕτως ἐστὶ δή· καὶ ἐκ τούτων δῆλον ὅτι ἐπ' αὐτοῖς ἀληθεύσει τὸ τοῦ εὐαγγελίου, Ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.

§. 43. Δ. Λέγε τὰ μετὰ ταῦτα.

Μ. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Δ. Ἆρα γε διὰ τούτων ἓν μόνον αἰτεῖς;

Μ. Ναί, τὸ γὰρ δεύτερον κῶλον ἐπεξηγητικὸν τοῦ προτέρου ἐστί.

Δ. Τί οὖν ἐστι τῆς σῆς αἰτήσεως τὸ κεφάλαιον;

Μ. Ἵνα μὴ εἰς τὸ κακὸν ἡμᾶς ἐξολισθαίνειν ἐᾷ, μηδὲ τοῦ διαβόλου καὶ τῶν κακῶν ἐπιθυμιῶν ἡττηθῆναι, αἳ συνεχῶς πολεμοῦσιν ἡμῖν· ἀλλὰ τῷ ἑαυτοῦ κράτει ἡμᾶς πρὸς τὸ ἀνθίστασθαι τούτοις ὁπλίζῃ, ἡμῶν τε

τῇ

τῇ χειρὶ ἀντιλήψεται, καὶ ἡμᾶς φρουρῇ, ἵνα ὑπερασπίζοντος ἡμῶν αὐτοῦ ἀνεχύρωτοι σώζωμεν.

Δ. Πῶς δὲ τοῦτο γένοιτο ἄν;

Μ. Ὅταν τῷ Πνεύματι αὐτοῦ ἀγόμενοι, τῷ ἁγίῳ ἔρωτι καὶ πόθῳ τῆς δικαιοσύνης τῷ ἡμῶν ἐμφορούμενοι, τὴν ἁμαρτίαν καὶ τὴν σάρκα καὶ δὴ καὶ τὸν διάβολον καταπαλαίωμεν· πάλιν δὲ, ὑπὸ τοῦ σφοδροῦ τῆς ἁμαρτίας μίσους, τῶν κοσμικῶν ἀπαλλαττόμενοι, τῇ ὁσιότητι συζῶμεν. ἡ γὰρ τοῦ Πνεύματος δύναμις νικηφόρος ἡμῖν ἐστί.

Δ. Πότερον δὲ πάντες ταύτης τῆς ἐπικουρείας χρείαν ἔχουσι;

Μ. Καὶ μάλα γε. ὁ γὰρ διάβολος ἀεὶ ἐπιβουλεύων ἡμῖν διατελεῖ, καὶ ὥσπερ εἰ ὡς λέων ὠρυόμενος, ζητεῖ τινὰ καταπίῃ. ἡμεῖς δὲ ὑπ' ἀσθενείας αὐτίκα μάλα ἀπαγορεύοιμεν ἂν καὶ ἐκκάμνοιμεν, μᾶλλον δὲ καὶ καθ' ἕκαστον ἀκαρὲς τοῦ χρόνου ἀπολοίμεθα, εἰ μὴ ὁ Θεὸς τὰ ἑαυτοῦ ὅπλα ἡμᾶς πρὸς μάχην

ἐνέδυε,

ὀφείλομεν, καὶ τῇ ἑαυτοῦ χειρὶ ἐκράτυνεν, ὥστε καὶ κρείττονας αὐτοῦ εἶναι.

Δ. Τί δὲ ἐνταῦθα σημαίνει τὸ πειρασμός;

Μ. Τοὺς δόλους καὶ τὰς πανουργίας τοῦ διαβόλου, δι' ὧν ἐπιχειρῶν ἡμῖν οὐ παύεται, καταγωνιζόμενος ἄρα τοῖς ἰδίοις σκευωρήμασι ῥᾳδίως, εἰ μὴ ὑπὸ τοῦ Θεοῦ ἐβοηθούμεθα· καὶ γὰρ ὁ ἡμέτερος νοῦς, ὑπὸ τῆς ἐμφύτου αὐτῷ κενότητος, ταῖς αὐτοῦ ἀπάταις εὐάλωτός ἐστιν. ἄλλως τε καὶ ἡ ἡμετέρα γνώμη, διὰ τὸ μᾶλλον πρὸς τὸ κακὸν εὐκατάφορος πεφυκέναι, εὐθὺς ἂν αὐτῷ ἡττᾶτο.

Δ. Τίνος δὲ χάριν παραιτῇ αὐτὸν μὴ εἰσενεγκεῖν σε εἰς πειρασμόν, ὅταν ἴδιον τοῦ διαβόλου ἔργον, οὐχὶ δὲ τοῦ Θεοῦ εἶναι δοκεῖ;

Μ. Καθάπερ γὰρ ἵλεως ὢν οὕτω προνοεῖται ὁ Θεὸς ὥστε μὴ ἐᾶν αὐτοὺς ταῖς τοῦ διαβόλου ἀπάταις κατασύρεσθαι, μηδὲ τῆς ἁμαρτίας ἡττηθῆναι· οὕτω δὴ οὓς ἂν κολάζειν ἀξιοῖ, οὐ μόνον τῆς αὐτοῦ βοηθείας καὶ χάριτος

ἐρήμους

ἐρήμους αἰσθάνονται, ἀλλὰ καὶ τῇ τοῦ Διαβόλου τυραννίδι ὑποπεπτωκυίας πάσας τὰς τοιαύτας αὐτῶν τυφλοῦντι εἰς ἀθλιωτάτην τῶν πραγμάτων δουλείαν αὐτοὺς, ἵνα παντελῶς ὑπὸ τῆς ἁμαρτίας ἐξανδραποδισθῶσι, καὶ πᾶσι τοῖς πειρασμοῖς ὑποχείριοι ὦσι.

Δ. Τίνος δὲ ἕνεκα αὕτη ἡ ῥῆσις προσκεῖται, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας;

Μ. Ἵνα πάλιν μάθωμεν ὅτι δεῖ ἡμᾶς ἐλπίζειν τεύξεσθαι ὧν ἂν προσευχόμενοι αἰτήσωμεν, οὐ δι' ἡμᾶς (ἅτε δὴ ἀναξίους καὶ τοῦ ἐπικαλέσασθαι αὐτὸν ὄντας) ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ δύναμιν καὶ ἀγαθότητα. ἅμα δὲ διδασκόμεθα διὰ τούτων, ὅτι τὰς ἡμετέρας εὐχὰς ἀεὶ προσήκει εἰς τὰ τοῦ Θεοῦ ἀποτελευτᾶν ἐγκώμια.

§. 44. Δ. Ἆρ' οὐ θέμις αἰτῆσαί τι παρὰ τοῦ Θεοῦ χωρὶς τῶν τοιαύτῃ τῇ προσευχῇ περιεχομένων;

Μ. Ἡμῖν μὲν οὐδὲν κωλύει ἄλλαις

λέξεσι

λέξιν καὶ ἄλλην εἴδει λόγου προσευχομένους χρῆσθαι, ὅμως δὲ δεῖ εἰδέναι τοῦτο χρὴ, ὡς οὐδεμία προσευχὴ ἀρέσκειν Θεῷ δύναται ἐὰν μὴ πρὸς ταύτην ἀναφέρηται, καὶ ὡς πρὸς κανόνα ῥυθμίζηται.

Περὶ τοῦ λόγου τοῦ Θεοῦ.

Δ. Ὥρα νῦν ἡμᾶς ἀκολούθως ἢ ἐποιησάμεθα τοῦ λόγου τάξιν, τὰ περὶ τετάρτου μέρους τῆς ὀφειλομένης τῷ Θεῷ τιμῆς διεξελθεῖν.

Μ. Εἴπομεν τοῦτο κεῖσθαι ἐν τῷ πεπεῖσθαι ὅτι αὐτὸς αἴτιος πάντων ἀγαθῶν ἐστι, κἂν τῷ τὴν αὐτοῦ ἀγαθότητα, καὶ δικαιοσύνην, σοφίαν τε καὶ δύναμιν μετ᾽ εὐχαριστίας δοξάζειν· ἵνα τιμὴν αὐτῷ ὡς πάντων ἁπαξαπλῶς ἀγαθῶν αἰτίῳ ἀπονέμωμεν.

Δ. Οὐχί τινα κανόνα τούτου ἡμῖν παρέθηκε;

Μ. Πάντα τὰ αὐτοῦ ἐγκώμια, τὰ πάν-

τες

τες οἱ πρὸς αὐτὸν εὐχαριστήριοι λόγοι, οὓς ἐν τῇ ἱερᾷ γραφῇ ἔχομεν, ἀντὶ κανόνος ἡμῖν εἰσί.

Δ. Οὐκ ἔχει τι ἡ τοῦ Κυρίου προσευχὴ τεῖνον πρὸς τοῦτο;

Μ. Καὶ μάλα· εὐχόμενοι γὰρ τὸ τοῦ Θεοῦ ὄνομα ἁγιασθῆναι, εὐχόμεθα τὴν ἐνοῦσαν πᾶσι τοῖς αὐτοῦ ἔργοις δόξαν καταδήλον γίνεσθαι· καὶ οὕτως εἴτε κολάζει, δίκαιον νομίζεσθαι· εἴτε συγγινώσκει, ἐλεήμονα· εἴτε ἃ ἐπηγγείλατο ἐπιτελεῖ, ἀληθινὸν καλεῖσθαι· καὶ ἐνὶ λόγῳ, ὅσα ὁρῶμεν αὐτοῦ ἔργα, πάντα πρὸς τὴν αὐτοῦ δόξαν ἀναφέρειν. τοῦτο δή ἐστι τὸ τὴν ἀπὸ πάντων ἀγαθῶν δόξαν αὐτῷ ἀναθεῖναι.

Δ. Τί δή ποτέ ἐστι τὸ πάντων τῶν μέχρι τοῦδε εἰρημένων κεφάλαιον;

Μ. Ὃ μαρτυρεῖ τε αὐτὴ ἡ ἀλήθεια, καὶ ἐγὼ ἀρχόμενος εἶπον, ὅτι δηλαδὴ αὐτή ἐστιν ἡ αἰώνιος ζωή, τὸ γινώσκειν ἕνα τὸν ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν. λέγω

δὲ γινώσκειν, ὅταν τὴν προσήκουσαν αὐτῷ τιμὴν προσάπτωμεν, καὶ ἀποδεχώμεθα αὐτὸν ὡς οὐ μόνον διδάσκαλον καὶ δεσπότην, ἀλλὰ πατέρα τε καὶ σωτῆρα ἡμῶν ὄντα· καὶ δὴ καὶ ἐν μέρει ἑαυτοὺς παριστάνωμεν αὐτῷ υἱούς τε καὶ δούλους, καὶ διὰ τοῦτο τὸν ἡμέτερον βίον εἰς τὴν τῆς αὐτοῦ δόξης διαθρύλλησιν ἀποτάττωμεν.

§. 45. Δ. Τίνι δὲ τρόπῳ τοσούτων ἀγαθῶν δυναίμεθ' ἂν τυγχάνειν;

M. Πρὸς ταῦτα ἡμᾶς ἀναγαγεῖν βουλόμενος, τὸν ἱερὸν αὐτοῦ λόγον καταλέλοιπεν ἡμῖν. ἡ γὰρ πνευματικὴ διδαχὴ οἱονεί τις ἐστὶ πύλη δι' ἧς εἰς τὴν οὐράνιον αὐτοῦ βασιλείαν εἰσερχόμεθα.

Δ. Ποῦ τὰ ἱερὰ ταῦτα λόγια ζητητέον;

M. Ἐν ταῖς ἁγίαις γραφαῖς. ταύταις γὰρ ἐμπεριέχεται.

Δ. Πῶς δὲ τούτοις χρώμενοι, ἆρ' οἷοί τ' ἂν εἴημεν ἐξ αὐτῶν ὠφελεῖσθαι;

M. Ἐὰν

Μ. Ἐὰν οὕτως ἀποδεχώμεθα αὐτὰς ὡς πεπεισμένοι καὶ σαφῶς εἰδότες ἀλήθειαν οὖσαν τὴν ὑπεραπόθεν παρελθοῦσαν, εὐμαθεῖς τε ὑπὸ τῆς ἄγαν φιλομαθείας ὄντες, τὸ ἡμέτερον βούλημα καὶ τὸν νοῦν ὑπείκωσιν αὐτῷ ὑπαρχόμενοι, ἔτι δὲ καὶ ἐκ καρδίας αὐτὰς ἀγαπῶμεν· συντελέστατα δ' εἰπεῖν, ἐὰν ἐν ταῖς ἡμετέραις ψυχαῖς ἅπαξ ἐγκεχαραγμέναι καὶ ἐρριζωμέναι ὦσι, ὥστε τῷ ἡμετέρῳ βίῳ καρποφόρα εἶναι· τέλος δὲ, ἐὰν πρὸς αὐτὰς, ὥσπερεὶ κανόνα τινὰ, ἑαυτοὺς ῥυθμίζωμεν, τότε δὴ σωτηρίαν (ὅπερ ἁπάντων ἔργον ἐστὶ τέλειον) ἡμῖν οἴσουσι.

Δ. Ἆρά γε ταύτην μόνην ἀφ' ἡμῶν ἔστι;

Μ. Οὐ μὲν οὖν, οὐδ' ὁπωσοῦν τύπον, ἀλλὰ μόνος ὁ Θεὸς διὰ τῆς τοῦ Πνεύματος αὐτοῦ ἐπιπνοίας ταῦτα ἐν ἡμῖν ἐνεργεῖν δύναται.

Δ. Οὐκοῦν ἡμᾶς δεῖ σπουδαίους εἶναι καὶ ἐπιμελεῖς τὰ ἐν τοῖς ἱεροῖς λογίοις διδάγματα ἀναγινώσκειν τε καὶ μελετᾶν, ἵνα προκόπτωμεν;

Μ. Πάνυ γε. καὶ οὐ μόνον τοῦ τοιοῦτον ἕκαστον ἡμῶν ἰδίᾳ σπουδάζειν προσήκει, ἀλλὰ

δεῖ

δεῖ πρὸ πάντων φοιτᾶν παρὰ τοὺς αὐτὰ ἐξη-
γουμένους ἐν ταῖς πρὸς τὸν ὅμιλον τῶν πιστῶν
ὁμιλίαις, καὶ ἐκεῖ ταῦτα ἀκούσασθαι.

Δ. Ἆρα οὖν, κατὰ τὸν σὸν λόγον, οὐκ ἀ-
πόχρη ἕκαστον οἴκοι ἀναγινώσκειν ταῦτα, ἀλ-
λὰ δεῖ καὶ πάντας ὁμοῦ συνέρχεσθαι, τῶν
ταῦτα ὑποφητευόντων ἀκουσομένους;

Μ. Πάνυ μὲν οὖν ὅπῃ γε προσήκοι αὐ-
τοῖς.

Δ. Ἆρα τούτῳ πίστιν ἔχεις τινὰ παρέ-
χειν;

Μ. Πρὸς πίστιν ἀρκεῖσθαι ἡμᾶς εἰκὸς τῷ
τοῦ Κυρίου βουλήματι. οὗτος δὲ ταύτην τὴν
διάταξιν αὐτῇ συνέστησεν, οὐχ ἵνα δύο ἢ
τρεῖς μόνον αὐτὴν διαφυλάττοιεν, ἀλλ' ἵνα
κοινῇ πάντες. πλὴν ἀλλὰ καὶ ἐδίδαξεν ἡμᾶς
ὅτι οὐκ ἂν ἄλλως αὐτὴ οἰκοδομεῖσθαι ἢ δια-
σώζεσθαι δύναιτο. ἡμῖν δὲ οὐχ ὅσιον εἶναι νο-
μιστέον τὸν ὑπ' αὐτοῦ παραδοθέντα κανόνα
παραβαίνειν, οὐδέ γε τὸ οἴεσθαι ὑπὲρ τὸν
διδάσκαλον φρονεῖν.

Δ. Ἆρα

Δ. Ἆρ' οὖν ἀνάγκη ποιμένας τινὰς τῆς ἐκκλησίας περιΐστασθαι;

Μ. Μάλιστα δὲ δὴ καὶ αὐτῶν ἀκροᾶσθαι προσήκει, μετὰ τῆς σωφροσύνης τὴν τοῦ Χριστοῦ διδαχὴν ἀπὸ στόματος αὐτῶν ἐκδεχομένους. διὸ καὶ ὁ καταφρονῶν αὐτῶν, ἢ ἀκοῦσαι ἀπαξιῶν, ἴστω τὸν Χριστὸν ἀτιμάζων, καὶ τῆς τῶν πιστῶν κοινωνίας ἀποτεμνόμενος.

Δ. Ἀλλὰ γὰρ πότερον ἀπόχρη Χριστιανῷ ἀνδρὶ παρὰ τοῦ ἰδίου ποιμένος ἅπαξ πεπαιδεῦσθαι, ἢ πάντα τὸν βίον διδασκόμενον διάγειν δεῖ;

Μ. Μικρὸν ὄφελος τοῦ ἄρξασθαι, ἐὰν μή τις ἐσαεὶ διατελῇ. καὶ γὰρ τοῦ Χριστοῦ μαθητὰς εἶναι ἡμᾶς μέχρι τέλους, μᾶλλον δὲ ἄνευ τέλους προσήκει. αὐτὸς δὲ τοὺς διακόνους τῆς ἐκκλησίας ἡμῖν ἀντὶ ἑαυτοῦ διδασκάλους κατέστησεν.

ΠΕΡΙ

Περὶ τῶν Μυστηρίων.

§. 46. Δ. Ἆρ' οὐκ ἄλλῳ τινὶ τρόπῳ ἢ διὰ τῆς γραφῆς κοινωνοῦμεν τῷ Θεῷ;

Μ. Τὰ μυστήρια τῷ τοῦ λόγου κηρύγματι συνέζευξε.

Δ. Τί ἐστι μυστήριον;

Μ. Τὸ διὰ τῆς ἔξωθεν μαρτύριον τῆς τοῦ Θεοῦ εἰς ἡμᾶς ἀγάπης, ὃ δι' ὁρατοῦ σημείου τὰ πνευματικὰ χαρίσματα παρίστησιν ἡμῖν, ἵνα αἱ τοῦ Θεοῦ ἐπαγγελίαι μᾶλλον ταῖς ἡμετέραις καρδίαις ἐπισφραγίζωνται, καὶ βεβαιοτέραν ἐλπίδα ἐπὶ τῇ αὐτῶν ἔχωμεν ἀληθείᾳ.

Δ. Ἆρα τούτῳ τῷ ὁρατῷ σημείῳ τοσαύτη πρόσεστι δύναμις ὥστε τὰς ἡμετέρας συνειδήσεις περὶ τῆς σωτηρίας ἐπελπίζειν;

Μ. Οὐκ ἀφ' ἑαυτοῦ τοῦτό γε, ἀλλ' ἐπειδὴ οὕτως ἀρέσκει τῷ Θεῷ, καθόσον ὑπ' αὐτοῦ τῷδε τῷ ἔργῳ προσετάχθη.

Δ. Τούτου

Δ. Τούτου τοῦ ἔργου τῷ ἁγίῳ πνεύματι ἰδίᾳ προσήκοντος, τὰς τοῦ Θεοῦ ἐπαγγελίας ἐν ταῖς ἡμετέραις ψυχαῖς ἐναποσφραγίζεσθαι, πῶς σὺ τοῖς μυστηρίοις αὐτὸ προσάπτεις;

Μ. Πολλῷ γε τοῦτο ἐκείνου διαφέρει. καὶ γὰρ τοῦ ἁγίου πνεύματος ἔργον ἴδιόν ἐστι τὸ τὰς ἡμετέρας καρδίας κινῆσαι καὶ φωτίσαι, ὅτι δὲ καὶ τὸ τὰς ἡμετέρας συνειδήσεις στεῤῥὰς περὶ τὴν τῶν ἐπαγγελιῶν ἐλπίδα καταστῆσαι. διὸ καὶ ταῦτα ἐκείνῳ μόνῳ ἀναθεῖναι χρὴ, καὶ μηδαμῶς τὴν τιμὴν ἄλλῳ οὐδενὶ περιάπτειν. οὐδὲν δὲ τοῦτο κωλύει χρῆσθαι τοῖς μυστηρίοις τὸν Θεὸν ὡς δευτέροις ὀργάνοις, ᾗ ἂν αὐτῷ δοκῇ, ἅτε οὐδὲν διὰ τούτων τῇ τοῦ Πνεύματος δυνάμει ἀφαιρούντων.

Δ. Σὺ οὖν ἡγῇ τὴν τοῦ μυστηρίου ἐνέργειαν τῷ ἔξωθεν στοιχείῳ οὐκ ἐγκεκλεῖσθαι, ἀλλ᾽ ἀπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ ὅλην προέρχεσθαι.

Μ. Ἔγωγε. ὅπῃ ἂν βουλομένῳ τι αὐτῷ δοκῇ διὰ τῶν ἰδίων ὀργάνων τὴν ἑαυτοῦ δύ-

ναμιν

ναμιν φανερὰν καταστῆσαι ὅπερ αὐτοῖς ἔργοις ἀπέδειξε. τοῦτο δὲ ποιοῦσι, τὴν τοῦ Πνεύματος αὐτοῦ δύναμιν οὐδαμῶς ἐλαττοῦν.

Δ. Ἆρα δύνασαι αἰτίαν ἀποδοῦναι δι' ἣν τοῦτο ποιεῖ;

Μ. Ἵνα τῇ ἀσθενείᾳ ἡμῶν βοηθῇ· εἰ μὲν γὰρ πνευματικοὶ ἦμεν ὅλοι ὥσπερ οἱ ἄγγελοι, ἐδυνάμεθ' ἂν αὐτὸν καὶ τὰ χαρίσματα αὐτοῦ πνευματικῶς θεωρεῖν· νῦν δὲ ἐπιπεπλεγμένων ἡμῶν τῷ τοῦ γηΐνου σώματος ὄγκῳ, ἀνάγκη αὐτὸν διά τινων τύπων καὶ οἱονεὶ κατόπτρων τὰ πνευματικὰ καὶ οὐράνια παραστῆσαι ἡμῖν, οὐ γὰρ ἂν ἄλλως οἷοί τ' εἴημεν διανοίᾳ περιλαβεῖν αὐτά. ἔπειτα δὲ συμφέρει ἡμῖν, τῶν τοῦ Θεοῦ ἐπαγγελιῶν πεῖραν λαμβάνειν τὰς ἡμετέρας αἰσθήσεις πάσας πρὸς μείζω βεβαίωσιν.

§. 47. Δ. Εἰ οὕτως ἔχει τοῦτο, τὸ παραδοθῆναι ὑπὸ Θεοῦ τὰ μυστήρια ἐφ' ᾧ τῇ ἡμετέρᾳ βοηθεῖν ἀσθενείᾳ, οὐχὶ δίκαιον ὑπερηφανίαν καταγινώσκειν ἐκείνου ὃς ἂν μηδὲν δεῖσθαι τούτων οἴηται;

Μ. Κο-

Μ. Κομιδῇ γὰρ καὶ διὰ τὸ ὅτι τούτοις ἀπαξιοῖ χρήσασθαι, ὡς οὐκ ἀναγκαίοις ὑποσχομένοις μεθ' ἀτιμάζει τὸν Χριστὸν, εἶτα δὲ καὶ τὴν αὐτοῦ χάριν ἀθετεῖ καὶ τὸ Πνεῦμα σβέννυσι.

Δ. Πῶς δὲ δύναται τὰ μυστήρια τὴν ἡμῶν ἐλπίδα βεβαιῶσαι, ἔνια τούτων οἵ τε κακοὶ καὶ οἱ ἀγαθοὶ ἀναμὶξ κοινωνοῦσι;

Μ. Καίτοι οἱ πονηροὶ τὴν διὰ τῶν μυστηρίων προσφερομένην αὐτοῖς χάριν, τόγε καθ' αὐτοὺς, ἄχρηστον, ὡς εἰπεῖν καθιστῶσιν, οὐδὲν ἧττον ἡ ἰδία ἐνέργεια καὶ φύσις τοῖς μυστηρίοις ἀεὶ παραμένει.

Δ. Πῶς οὖν καὶ πότε τῆς τῶν μυστηρίων ἐνεργείας ἀπολαύομεν;

Μ. Ὅταν μετὰ πίστεως ἀποδεχώμεθα αὐτὰ, Χριστὸν μόνον ἐν τούτοις καὶ τὴν ἐκείνου χάριν ζητοῦντες.

Δ. Διὰ τί ζητητέον ἐν ἐκείνοις τὸν Χριστὸν λέγεις;

Μ. Ἵνα δηλώσω ὅτι οὐ χρὴ ἡμᾶς τῷ ὁρατῷ σημείῳ προσπεπηγέναι, ὡς σωτηρίαν φέ-

μυστηρίων, οὐδὲ νομίζειν τινὰ κεκρύφθαι δύνα-
μιν δυνάμεων ἐκείνοις προσηρτημένην· ἀλλ' ἁ-
πλῶς ἐπιτήδειον ὑπάρχει ὅτι τὸ σημεῖον ὁδηγεῖται ἡμῖ-
τὴν πρὸς τὸν Χριστὸν ὁδὸν, ἐν αὐτῷ μόνῳ ἐκεῖ-
σαν ὁλόκληρον καὶ πᾶν ἀγαθὸν ζητήσουσι.

Δ. Ἐπεὶ ἡμᾶς ταῦτα τὰ μυστήρια μετ-
πίστεως προσδέχεσθαι, τίνα λόγον ἔχει το-
σαῦτ' ἔτι πρὸς βεβαίωσιν τῆς πίστεως ἡμῖν
δίδοται, ἤτοι ἵνα στερροτέρους ἡμᾶς πρὸς τὴν τῶν
ἐπαγγελιῶν ἐλπίδα ἀποδείξῃ.

Μ. Οὐκ ἀρκεῖ τὸ τὴν πίστιν ἐν ἡμῖν ἅ-
παξ ἀρχὴν εἰληφέναι, ἀλλ' αὐτὴν καὶ ἐφεξῆ-
δεῖ καὶ αὐξάνεσθαι ἐν ἡμῖν πρὸς τὴν πληρο-
φορίαν. οὗν αὐτῆς καὶ αὔξησιν ὁ Θεὸς τὰ μυ-
στήρια εἰσηγήσατο ἡμῖν. ὃ δηλοῖ καὶ ὁ Παῦλος, ἐ-
δις λέγει ὅτι δι' αὐτῶν αἱ τοῦ Θεοῦ ἐπαγγελίαι
ταῖς ἡμετέραις καρδίαις ἐπισφραγίζονται.

Δ. Ἆρ' οὖν οὐ τοῦτο τὴν ἀπιστίαν ἡμῶν
κατηγορεῖ, τὸ μὴ παντελῶς πιστεύειν καὶ πε-
ποιθέναι ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις, ἐὰν μὴ
τινα πρὸς τὴν ἐπικύρωσιν αὐτῶν προσλαμ-
βάνωμεν;

Μ. Τοῦ-

Μ. Τοῦτο ἄρχῃ τὴν τῆς πίστεως ἀσφάλειαν παρέχει, ἣν ἔχομεν κυρίως μὲν ἐν τῷ Θεῷ υἱῷ, [illegible] [illegible] διὰ [illegible] ἔτι ἐς, ἀλλ' οὐ τελείως· ἕως γὰρ τούτῳ τῷ κόσμῳ [illegible] [illegible]ομεν, ἀεί τινα λείψανα ἀπιστίας τῇ ἡμετέρᾳ σαρκὶ ἐναπομένει· [illegible] ἄλλως [illegible] [illegible] ἡ τῶν συνεχῶς διὰ παντὸς τοῦ βίου προκόπτειν· τοιγαροῦν ἐπίδοσιν ἀεὶ [illegible] ἡμετέραν πίστιν λαμβάνειν χρὴ ἑκάστοτε.

§. 48. Δ. Πόσα μυστήρια ἡ τῶν Χριστιανῶν ἐκκλησία ἔχει;

Μ. Δύο μόνον, πᾶσι τοῖς πιστοῖς κοινὰ ὄντα, κατὰ τὴν τοῦ Ἰησοῦ Χριστοῦ διάταξιν.

Δ. Τὰ ποῖα;

Μ. Τὸ βάπτισμα καὶ τὸ Κυριακὸν δεῖπνον.

Δ. Τί δὲ ὅμοιον ἢ τί διάφορον ἀλλήλοις ἔχει;

Μ. Διὰ τοῦ βαπτίσματος οἱ πιστοὶ εἰσερχόμεθα εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν· μαρτυρεῖ γὰρ ἡμῖν ὅτι ὁ Θεὸς ἡμᾶς, τοὺς πρότερον αὐτοῦ ἀπηλλοτριωμένους, μετὰ τῶν οἰκείων παίδων ἀξιοῖ.

τὸ

τὸ δὲ Κυριακὸν δεῖπνον τεκμήριον ἡμῖν ἐστι τοῦ τὸν Θεὸν ταῖς ἡμετέραις ψυχαῖς τὰ πρὸς τροφὴν παρέχειν, καὶ ἐν τούτῳ πνευματικῶς ἡμῖν προσφέρεσθαι.

Δ. Ἵνα δὲ σαφέστερα ἡμῖν τὰ ἀμφότερα γένηται, ἑκάτερον ἰδίᾳ λόγῳ διεξίωμεν· καὶ πρῶτον μὲν εἰπὲ τί ὁ βαπτισμὸς ἡμῖν παραδηλοῖ.

Μ. Δύο ἡμῖν παρίστησι, τήν τε ἄφεσιν τῶν ἁμαρτιῶν δηλονότι, καὶ τὴν πνευματικὴν ἀναγέννησιν.

§. 49. Δ. Τί δὲ ἀνάλογον τούτοις ἔχει τὸ ὕδωρ, ὥστε σύμβολον τούτων εἶναι δύνασθαι;

Μ. Ὅτι ἡ τῶν ἁμαρτιῶν ἄφεσις ἔοικέ πως λουτρῷ, δι' οὗ τὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς μολύσματα ἀπορρύπτεται, ὥσπερ τὸν τοῦ σώματος ῥύπον δι' ὕδατος ἀποψώμεθα.

Δ. Τὴν δὲ ἀναγέννησιν ἡμῶν πῶς τὸ ὕδωρ αἰνίττεται;

Μ. Ἐπειδὴ ἀρχὴ μὲν αὐτῆς ἐστι τὸ τὴν ἡμετέραν φύσιν νεκρωθῆναι· τέλος δὲ, τὸ και-

νὰς

τελευτήσαντας ἡμᾶς γίνεσθαι, τὸ ἐπιχεόμενον τῇ ἡμετέρᾳ κεφαλῇ ὕδωρ, σύμβολον θανάτου ἐστίν· ἀλλ' ἅμα καὶ τὴν ἡμετέραν ἀναβίωσιν παραδηλοῖ, παρόσον οὐχ ὑποβρύχιοι τῷ ὕδατι διατελοῦμεν ὄντες, ἀλλὰ μόνον ἐν ἀκαρεῖ τοῦ χρόνου οἱονεὶ εἴς τινα τάφον καταδυόμεθα, ἵνα εὐθὺς ἀναδυώμεθα αὐτοῦ.

Δ. Μανθάνω ὅτι τοῦτο τὸ ὕδωρ τῆς ἡμετέρας ψυχῆς καθαρμὸν εἶναι;

Μ. Οὐ μὲν οὖν· ταύτην γὰρ τιμὴν τῷ τοῦ Χριστοῦ αἵματι ἀφαιρεῖν οὐ θέμις, ὅπερ ἐξεχύθη ἵνα πάσας τὰς κηλῖδας ἡμῶν ἀπορρύψαι, καθαρούς τε καὶ ἀμέμπτους τῷ Θεῷ παραστήσῃ· καὶ τούτου μετὰ τοῦ καθαρμοῦ ἀπονάμεθα· ὅτε τὸ ἅγιον πνεῦμα τούτῳ τῷ αἵματι τὰς ἡμετέρας συνειδήσεις ῥαντίζει· τὴν δὲ ἐπισφράγισιν ἐν τούτῳ μυστηριώδει βαπτισμῷ ἔχομεν.

Δ. Πότερον δὲ αὐτὸ τὸ ὕδωρ οὐδὲν ἄλλο ὂν εἶναι ἢ ἀπορρύψεως τύπον;

Μ. Τύπος μέν ἐστιν, ἀλλὰ παρεζευγμέ-

ἴσον ἔχειν οἶμαι ἀλήθειαν. ἡ γὰρ ὑπὸ τοῦ Θεοῦ ὑπὸ ψεύδεσθαί τι ἂν ὑπέσχετο ἡμῖν δῶρον. διὸ δὲ ἡμᾶς πληροφορηθῆναι δεῖ ὅτι ἡ τῶν ἁμαρτιῶν ἄφεσις καὶ βίου ἀνακαίνωσις διὰ τοῦ βαπτισμοῦ προσφέρεται ἡμῖν, καὶ ἡμεῖς αὐτὴν ἀπολαμβάνομεν.

Δ. Ἆρά γε ἐν πᾶσιν ἀδιακρίτως ἡ χάρις αὕτη ἀποτελεῖται;

Μ. Οὐ δῆτα, πολλοὶ γὰρ διὰ τῆς ἰδίας κακίας ταύτην αὐτοῦ ἀποκλείοντες, κενὴν ἑαυτοῖς καὶ ἀνόνητον αὐτὴν καθιστᾶσιν· οὐδὲν δὲ ἧττον τὴν αὐτῆς δύναμιν τὸ μυστήριον ἔχον διατελεῖ.

Δ. Ἡ δὲ ἀναγέννησις ἡμῶν πόθεν;

Μ. Ἀπὸ τοῦ θανάτου ἅμα καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ· τοιαύτην γὰρ τῷ θανάτῳ αὐτοῦ δύναμιν ἔνεστιν, ὥστε δι' αὐτοῦ τὸν παλαιὸν ἡμῶν ἄνθρωπον σταυροῦσθαι, καὶ τὴν τῆς φύσεως ἡμῶν κακίαν ὡσανεὶ θάπτεσθαι ἵνα μηκέτι ἡμῶν ἐπικρατῇ· τὸ δὲ ἡμᾶς ἀνακτίζεσθαι καὶ εἰς καινόν τινα βίον ἀναστῆναι,

ὅπως

ἐν τῇ τοῦ Θεοῦ δικαιοσύνῃ περιβαλλόμεθα, τέλος τῇ ἀναστάσει τοῦ Χριστοῦ ἀναλιθέναι δεῖ.

Δ. Πῶς δὲ ταύτης τῆς χάριτος ἐν τῷ βαπτισμῷ τυγχάνομεν;

Μ. Ὅτι διὰ ταύτης ἐνδυόμεθα τὸν Χριστὸν, καὶ τὸ αὐτοῦ Πνεῦμα ἀπολαμβάνομεν. ἐάν γε μὴ ταῖς ἐπαγγελίαις ταῖς ἡμῖν ἐκεῖ προσενεχθείσαις ἀποβάλλοντες, ἀχρήστους ἑαυτοῖς τούτους καθιστῶμεν.

§. 50. Δ. Τί δὲ πάντως ἡμεῖς τῷ βαπτίσματι δεόντως χρησόμεθα;

Μ. Ἡ ὀρθὴ τοῦ βαπτισμοῦ χρῆσις ἐν τῇ πίστει καὶ τῇ μετανοίᾳ κεῖται, τουτέστιν ἐν τῷ πρῶτον μὲν πληροφορηθῆναι ὅτι διὰ τοῦ αἵματος τοῦ Χριστοῦ κεκαθάρμεθα· εἶτα δὲ καὶ ἐν τῷ τοῦ Πνεύματος αὐτοῦ ἡμῖν ἐνοικοῦντας αἰσθάνεσθαι· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῖς ἄλλοις διὰ τῶν ἡμετέρων ἔργων φανερὸν ποιεῖν τοῦτο· ἔτι δὲ καὶ ἐν τῷ διατελεῖν μελετῶντας τήν τε ἡμετέραν σάρκα νεκρῶσαι, καὶ τῇ τοῦ Θεοῦ δικαιοσύνῃ πείθεσθαι.

Δ. Πῶς οὖν τὰ νεογνὰ βρέφη βαπτίζειν ἀξιοῦμεν, εἰ ταῦτα πρὸς τὸ προσηκόντως τῷ βαπτίσματι χρῆσθαι ἐστὶν ἀναγκαῖα;

Μ. Οὐδεμία ἀνάγκη ἐστὶ τοῖς βαπτιζομένοις πίστιν καὶ μετάνοιαν προσεῖναι, ἀλλὰ μόνον ἐνυπάρχειν δεῖ ἐκείνοις ὧν ἡ ἡλικία δεκτικὴ ἀμφοτέρων ἐστίν. ἀγαπητὸν οὖν ἐὰν τὰ βρέφη, ὅταν εἰς ἡλικίαν ἔλθῃ, τὸν καρπὸν τοῦ βαπτίσματος αὐτῶν ἐκδηλῷ καὶ ἐμφανίζῃ.

Δ. Ἆρ' ἔχεις ἀπόδειξίν τινα ὡς οὐκ ἄτοπον τοῦτο ποιεῖν;

Μ. Μάλιστα· ἐάν γε τοῦτο συνομολογηθῇ ἐμοὶ ὅτι οὐδεμίαν παράδοσιν ἄλογον ὁ Θεὸς ἐποιήσατο, καὶ γὰρ καὶ ἡ περιτομὴ σύμβολον ἦν μετανοίας, ὥσπερ Μωϋσῆς καὶ οἱ προφῆται δηλοῦσι, καὶ δὴ καὶ πίστεως σημεῖον, κατὰ τὸν Παῦλον, ὅμως δὲ τὰ νήπια ταύτης οὐκ ἀπείργεσθαι ἠξίου.

Δ. Ἀλλὰ γὰρ πότερον διὰ τὴν αὐτὴν αἰτίαν δεῖ νῦν τὸ βάπτισμα προσφέρειν αὐτοῖς, δι' ἣν πάλαι ἡ περιτομὴ προσεφέρετο;

Μ. Πά-

M. Πάνυ μὲν οὖν· αἱ γὰρ παλαιαὶ τοῦ Θεοῦ πρὸς τὸν Ἰσραηλιτικὸν λαὸν ἐπαγγελίαι προσήκουσι νῦν πᾶσι τοῖς καθ' ὅλην τὴν οἰκουμένην.

Δ. Οὐκοῦν ἐκ τούτων φανερὸν τὸ ἡμᾶς καὶ τῷ σημείῳ χρῆσθαι προσήκειν;

M. Παντί που δῆλον τῷ γε ἀκριβῶς ταῦτα κατανενοηκότι γνώσεται· οὐ γὰρ ὁ Χριστὸς οὕτω τῆς δοθείσης πάλαι τῷ Ἰσραὴλ χάριτος μετόχους ἡμᾶς ποιεῖσθαι ἠθέλησεν, ὥστε ἢ ἐλάττονι μέτρῳ ἢ ἀφανέστερον ἡμῖν μεταδοῦναι αὐτῆς· μᾶλλον δὲ καὶ μείζονι μέτρῳ καὶ ἐναργέστερον ἡμᾶς ἠξίωσεν αὐτῆς μεταλαβεῖν.

Δ. Πότερον νομίζεις ὅτι τὴν βρεφῶν τοῦ βαπτίσματος ἀπειργομένων, ἢ τοῦ Θεοῦ χάρις μειονεκτήσει· ὥστε καὶ εἰκότως αὐτὴν λέγεσθαι διὰ τῆς τοῦ Χριστοῦ ἀφίξεως ἐλαττωθῆναι;

M. Δῆλόν γε τοῦτο· ἀφαιρεθέντος γὰρ τοῦ συμβόλου, στεροῖτο ἂν τὰ ἡμέτερα τέκνα τοῦ σφραγίσματος τῆς ἀγαθότητος καὶ τοῦ ἐλέου

τοῦ Θεοῦ, ὅταν δὲ τὴν παλαιὰν ἔλαβον ταύ-
την, καὶ ἡ μεγάλην ἡμῖν [illegible] φέρει,
παρέχεται δὲ ἐμπεδοῖ ἡμῖν καὶ ἐπικυροῖ τὴν ἐξ
ἀρχῆς γενομένην ἐπαγγελίαν.

Δ. Τοιοῦτον μὲν ἐστὶν ὃ σὺ γινώσκεις περὶ
τούτου· ἐπειδὴ ὁ Θεὸς ἐπὶ τῆς παλαιᾶς δια-
θήκης σωματικώτερον τὴν μυστικὴν παραδηλῶν ἑαυτοῦ, τῆς
τῆς σωτηρίας ἐπέχετο τοῖς αὐτοῦ σω-
μασι διὰ σημείου ὁρατοῦ οὕτως ἐκέλευσεν ἐσ-
φραγίσθαι, ἄλογον ἔσεσθαι τὸ ἀπὸ τῆς τοῦ
Χριστοῦ ἀφίξεως ἐλάττονα βεβαίωσιν ἔχειν
τοὺς παῖδας, ἄλλως τε καὶ ἐπεὶ ἡ αὐτὴ ἐπαγγε-
λία καὶ ἡμῖν ἀπόκειται, ἥπερ τὸ πάλαι τοῖς
πατράσιν, ὅτι δὲ ὁ Θεὸς ἐναργέστερον
τὴν αὐτοῦ ἀγαθότητα ἐν Χριστῷ ἐπεδείξατο.

Μ. Τοιοῦτον ἄρα καὶ πάλιν τούτου ὑπὸ
πάντων ὁμολογουμένου, ὅτι τὰ βρέφη τῆς τοῦ
βαπτίσματος ἐνεργείας καὶ οὐσίας, (ὡς εἰπεῖν,)
μεταλαμβάνει, ὁ παρωθούμενος αὐτοὺς τῆς τοῦ
σημείου κτήσεως, ὅπερ ἔλαττόν ἐστιν, οὐκ ἂν
ἔξαρνος εἶναι δύναιτο μὴ ἀδικεῖν αὐτούς.

Δ. Τί

Δ. Τίνος οὖν χάριν βαπτίζονται τὰ βρέφη;

Μ. Ἵνα ὁ βαπτισμὸς μαρτύριον αὐτοῖς παρέχῃ καὶ πιστώσηται ἐπὶ τῆς τοῦ Θεοῦ εὐλογίας κληρονόμα εἶναι, ἣν τοῖς τῶν πιστῶν ἐγγόνοις ἐπηγγείλατο διαρρήδην· ὅπως ὅταν τῆς παιδευσιμωτέρας ἡλικίας ἐξέλθῃ, τὴν τοῦ βαπτίσματος αὐτῶν ἀλήθειαν γνόντες, χρηστοὺς τούτου ἀξίους φύωσι.

§. 51. Δ. Ἄγε δὴ, λέγωμεν νῦν περὶ τοῦ Κυριακοῦ δείπνου· τοῦτο γὰρ ἡδέως ἂν ἀκούσαιμι παρὰ σοῦ τί αὐτὸ ἐπιτελεῖ,

Μ. Ὁ Κύριος ἡμῶν Ἰησοῦς αὐτὸ διετάξατο, διδάσκειν ἡμᾶς βουλόμενος τὸ διὰ τῆς κοινωνίας τοῦ σώματος καὶ αἵματος αὐτοῦ, τὰς ἡμετέρας ψυχὰς ἐπ' ἐλπίδι τῆς αἰωνίου ζωῆς τρέφεσθαι.

Δ. Διὰ τί αὐτὸς διὰ μὲν τοῦ ἄρτου τὸ ἑαυτοῦ σῶμα, διὰ δὲ τοῦ οἴνου τὸ ἴδιον αἷμα παρέστησεν ἡμῖν;

Μ. Ἵνα μάθωμεν ὅτι καθάπερ τῷ ἄρτῳ ἔνεστι δύναμις θρεπτικὴ τῶν ἡμετέρων σωμά-

πων ἐν τῷ νῦν βίῳ· οὕτω δὲ τὸ αὐτοῦ σῶμα δύναμιν ἔχει προσφῦσαι καὶ ζωοποιῆσαι πνευματικῶς τὰς ἡμετέρας ψυχάς. ὡσαύτως δὲ καὶ ὥσπερ ὁ οἶνος τὴν τοῦ πίνοντος καρδίαν εὐφραίνει, τὴν ἰσχὺν ἀνακαλεῖται καὶ ἀναλαμβάνει, τό, τε ὅλον σῶμα ῥωμαλέον καθίστησι· κατὰ τὸν αὐτὸν τρόπον τὸ αὐτοῦ αἷμα τὰς ἡμετέρας καρδίας ἐπιῤῥώννυσί τε καὶ εὐφροσύνης ἐμπιμπλῆσι.

Δ. Ἆρα οὖν λέγεις ἡμᾶς ἀληθῶς τοῦ τε σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ἀπολαύειν;

Μ. Ἔγωγε· ἐπεὶ γὰρ πεπείσμεθα σωθήσεσθαι διὰ τῆς τοῦ Χριστοῦ πρὸς τὸν πατέρα ὑπακοῆς, καθόσον ὁ πατὴρ αὐτὴν ἡμῖν προσλογίζεται, ἀνάγκη ἡμῖν τὸν Χριστὸν κεκτῆσθαι· οὐ γὰρ ἂν τῶν ἀγαθῶν αὐτοῦ μεταλαβεῖν οἷοί τ' εἴημεν, εἰ μὴ πρότερον ἐκεῖνος ἑαυτὸν ἡμῖν χαρίζοιτο.

Δ. Ἀλλ' οὐχὶ δέδωκεν ἡμῖν ἑαυτὸν ὅτι θάνατον ἑκούσιον ὑπέμεινεν ἵνα ἡμᾶς καταλλάξῃ τῷ πατρὶ, καὶ τῆς κατακρίσεως τοῦ θανάτου ἀπαλλάξῃ;

Μ. Μά-

Μ. Μάλιστα· ἀλλὰ δεῖ προσέτι ἡμᾶς αὐτὸν δέχεσθαι νῦν ἵνα τὴν ἐκ τοῦ θανάτου αὐτοῦ δύναμιν καὶ ὠφέλειαν ἀπολάβωμεν.

Δ. Οὐκοῦν μετὰ πίστεως αὐτὸν δέξασθαι χρή;

Μ. Πάνυ γε. οὐ μόνον δὲ πιστεύειν χρὴ ὅτι ἔθανεν ὅπως ἡμᾶς τοῦ αἰωνίου θανάτου ἀπολυτρώσηται, καὶ ἀνέστη ἵνα ζωὴν ἡμῖν περιποιήσηται· ἀλλὰ καὶ ὅτι ἐνοικεῖ ἡμῖν, καὶ τοιαύτη ἐστὶν ἡ συνάφεια καὶ ἕνωσις αὐτοῦ πρὸς ἡμᾶς, οἷα ἡ τῆς κεφαλῆς πρὸς τὰ λοιπὰ μέλη, ἵνα ταύτης τῆς συναφείας ἕνεκα, πάντων τῶν χαρισμάτων αὐτοῦ μετάσχωμεν.

§. 52. Δ. Πότερον δὲ διὰ μόνου τοῦ Κυριακοῦ δείπνου ταύτης τῆς κοινωνίας ἀπολαύωμεν;

Μ. Οὐ διὰ τούτου μόνου. καὶ γὰρ καὶ διὰ τοῦ κηρύγματος τοῦ εὐαγγελίου κοινωνία ἡμῖν τοῦ Χριστοῦ ἐστι, κατὰ τὸν Παῦλον. εἰκότως δὲ τοῦτο διδάσκει αὐτός, ἐπειδὴ ἀκούομεν ἐκεῖ ὅτι ὀστᾶ ἐκ τῶν αὐτοῦ ὀστῶν ὑπάρχομεν,

καὶ

καὶ σὰρξ ἐκ τῆς σαρκὸς καὶ ὅτι ἐκεῖνο ἄρτος τῆς ζωῆς ὃ οὐρανόθεν καταβὰς πρὸς τὸ τρέφειν τὰς ἡμετέρας ψυχὰς ἀπεστάλη ἐστί, καὶ ὅτι ἓν ἐσμὲν σὺν αὐτῷ καθάπερ ἓν ἐστὶ σὺν τῷ πατρί καὶ ἄλλα τούτοις παραπλήσια.

Δ. Τί δὲ ἄλλο τούτου τοῦ μυστηρίου ἀπολαύομεν;

Μ. Τοῦθ', ὅτι διὰ τούτου ἡ κοινωνία αὕτη περὶ ἧς εἴρηκα, ἡμῖν βεβαιοῦται καὶ οἱονεὶ ἐπισφραγίζεται. καὶ γὰρ καὶ ἐν τοῦ Χριστοῦ κοινοῦμεν καὶ διὰ τοῦ βαπτίσματος καὶ διὰ τοῦ εὐαγγελίου, ὅμως οὐκ αὐτὸν ἀπολαμβάνομεν ὁλοκλήρως, ἀλλ' ἐκ μέρους μόνον.

Δ. Τί οὖν τὸ τοῦ ἄρτου σύμβολον παραδηλοῖ;

Μ. Ὅτι τὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ σῶμα, ὥσπερ ἐφάπαξ θυσία προσενεχθὲν ἐφ' ᾧ ἡμᾶς καταλλάξαι τῷ πατρί, δίδοται νῦν ἡμῖν ἵνα πεπεισμένοι ὦμεν ὡς αὕτη ἡ διαλλαγὴ ἡμῖν προσήκουσά ἐστι.

Δ. Τί δὲ τὸ τοῦ οἴνου;

Μ. Ὅτι

Μ. Ὅτι ὥσπερ ὁ Χριστὸς εἰσάπαξ ἐξέχεε τὸ ἴδιον αἷμα λύτρον ἀντὶ ἡμῶν, οὕτω καὶ τὸ πότιμον ἡμῖν αὐτὸ ἀπειργασμένος παρέχει, ἵνα τῆς ἀπ' αὐτοῦ γινομένης ἡμῖν ὠφελείας αἰσθανώμεθα.

Δ. Τοιγαροῦν κατὰ τὰς σὰς ἀποκρίσεις, τὸ Κυριακὸν δεῖπνον πρὸς τὸν τοῦ Κυρίου θάνατον ἡμᾶς ἀναπέμπει, ἵνα τῆς ἐκείνου δυνάμεως κοινωνῶμεν.

Μ. Πάνυ μὲν οὖν· τότε γὰρ ἡ μόνη καὶ διηνεκὴς θυσία ὑπὲρ τῆς ἡμετέρας σωτηρίας προσηνέχθη. λοιπὸν οὖν μόνον τὸ ἡμᾶς τῆς ἐκεῖθεν ὠφελείας ἀπολαύειν.

Δ. Οὐκοῦν τὸ Κυριακὸν δεῖπνον νενόμισται ἐφ' ᾧ προσφέρειν τὸ τοῦ Χριστοῦ σῶμα τῷ πατρὶ αὐτοῦ.

Μ. Οὐμενοῦν. μόνος γὰρ ὁ Χριστὸς ταύτης τῆς τιμῆς ἄξιός ἐστι, ἅτε δὴ ἱερεὺς ὢν εἰς τὸν αἰῶνα. ἐπιτάττει δὲ, λέγων, Λάβετε, φάγετε, οὐ παραγγέλλει ἡμῖν τὸ αὐτοῦ σῶμα εἰς προσφορὰν θῦσαι, μόνον δὲ ἐσθίειν αὐτό.

Δ. Τίνος

Δ. Τίνος δὲ χάριν διπλῷ χρώμεθα συμβόλῳ;

§. 53. Μ. Διὰ τὴν τοῦ ἡμετέρου νοὸς ἀσθένειαν ὁ Κύριος δῆλός ἐστι προνοησάμενος, καὶ γὰρ δι' αὐτῆς ἡμῖν φανερὸν ποιήσασθαι ἠθέλησεν ὅτι οὐ μόνον ταῖς ἡμετέραις ψυχαῖς βρῶσις τυγχάνει ὤν, ἀλλὰ καὶ πόσις· ἵνα ἐν αὐτῷ πάντα τὰ πρὸς τὴν πνευματικὴν ζωὴν ἀρκοῦντα ζητῶμεν, ἀλλαχοῦ δὲ μή.

Δ. Ἆρά γε πάντας ἀδιακρίτως τῷ δευτέρῳ συμβόλῳ, ἤγουν τὸ τῆς πόσεως, ἐξ ἴσου χρῆσθαι προσήκει;

Μ. Καὶ μάλα γε, κατὰ τὴν τοῦ Χριστοῦ διάταξιν, παρ' ἣν κατατολμᾶν τινος οὐ θέμις.

Δ. Πότερον δὲ τὸ Κυριακὸν δεῖπνον τὰ εἰρημένα ἀγαθὰ μόνον ἡμῖν αἰνίττεται, ἢ καὶ ὄντως αὐτὰ παρέχει;

Μ. Ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς αὐτοαλήθειά ἐστιν, εὖ εἰδέναι χρὴ ὅτι αἱ ὑποσχέσεις ἃς ἐν τῷ δείπνῳ ποιεῖται, ἐν αὐτῷ ἐπιτελοῦνται, καὶ ἃ τυπικῶς ἐμφαίνεται, ἐκεῖ κατ'

ἀλήθειαν

ἀλήθειαν ὑπάρχει, διὰ καί φημι ὅτι καθὼς ἐπαγγέλλεται καὶ διὰ σημείων δείκνυσιν οὕτως ἡμῖν ὄντως τῆς ἰδίας οὐσίας μεταδίδωσιν, ἵνα εἰς ἕνα καὶ τὸν αὐτὸν βίον μεθ' ἑαυτοῦ ἑνώσῃ.

Δ. Πῶς δὲ τοῦτο δυνατόν, τοῦ σώματος τοῦ Χριστοῦ ἐν οὐρανῷ ὄντος, ἡμῶν δὲ τῇ γῇ ἐπιδημούντων;

Μ. Τοῦτο διὰ τῆς ἀκαταλήπτου τοῦ Πνεύματος αὐτοῦ δυνάμεως ἀπεργάζεται, ἣ ῥᾳδίως ὡς τὰ μακρὰν ἀλλήλων διεστῶτα συνάπτει.

Δ. Οὐκοῦν τὸ μὲν σῶμα τῷ ἄρτῳ, τὸ δὲ αἷμα τῷ ποτηρίῳ ἐγκεκλεῖσθαι νοεῖς.

Μ. Οὐ γάρ. μᾶλλον δὲ πάντως ἡγοῦμαι δεῖν, ἐὰν βουλώμεθα τῆς τοῦ μυστηρίου ἀληθείας τυγχάνειν, ἄνω βλέπειν, καὶ τὰς καρδίας εἰς οὐρανὸν αἴρειν, ὅπου ἐστὶν ὁ Χριστὸς ἐν τῇ τοῦ πατρὸς δόξῃ, καὶ ὅθεν ἥξειν αὐτὸν κριτὴν καὶ λυτρωτὴν προσδοκῶμεν. διὸ καὶ εἴ τις αὐτὸν ἐν τοῖς φθαρτοῖς στοιχείοις ζητεῖ, οὗτος δῆλός ἐστι πλανώμενος.

Δ. Ἵνα

Δ. Ἵνα οὖν συγκεφαλαιώσωμεν τὰ ὑπὸ σοῦ ῥηθέντα. Δύο ἔνεστι τούτῳ τῷ μυστηρίῳ, ὁρώμενα μὲν ἄρτος καὶ οἶνος, ἀόρατα δὲ μὲν καὶ ψηλαφούμενα, καὶ αὐτὸ γευόμεθα τὸ αἷμα τοῦ Χριστοῦ, ᾧ αἱ ἡμέτεραι ψυχαὶ ἔνδοθεν ὡς ἰδίᾳ τροφῇ βόσκονται.

M. Ἀληθῆ λέγεις· ἀλλὰ καὶ τοῦτο δεῖ νοεῖν, ὅτι ἐντεῦθεν καὶ τῆς τῶν ἡμετέρων σωμάτων ἀναστάσεως ἐνέχυρον λαμβάνομεν, καθόσον καὶ αὐτὰ τοῦ συμβόλου τῆς ζωῆς μετέχει.

ἐρ. 54. Δ. Τίς δ' ἂν εἴη ἡ γνησία καὶ νόμιμος τούτου τοῦ μυστηρίου χρῆσις;

M. Ἣν ὁ Παῦλος ὑπογράφει, κελεύων τὸν ἄνθρωπον ἑαυτὸν δοκιμάζειν πρὶν προσελθεῖν τούτῳ.

Δ. Τί δὲ ἐν ταύτῃ τῇ δοκιμασίᾳ ἐξετάσει;

M. Πότερον ἀληθὲς μέλος τοῦ Χριστοῦ ἐστι.

Δ. Τίσι δὲ τοῦτο τεκμηρίοις γνώσεται;

M. Ἐὰν ἀληθινὴν πίστιν ἔχῃ καὶ μετάνοιαν, ἐὰν τοὺς πέλας ἐκ καρδίας ἀγαπᾷ, μηδὲ ὑπούλως πρός τινα ἔχῃ. Δ. Ἀλλὰ

Δ. Ἀλλὰ γὰρ πότερον ἀνάγκην τελείαν πίστιν καὶ ἀπαράλλακτον ἔχειν τὸν ἄνθρωπον;

Μ. Εἰλικρινῆ μὲν καὶ ἀνυπόκριτον ἔχειν δεῖ μυούμενον· τελείαν δὲ καὶ παντελῶς ἀμιγῆ, δὴ μάλιστα ἂν ἐπαυρήσαιντο οἱ ἄνθρωποι ἐπὶ γῆς τοιαύτην ἔν τινι εὑρήσειν, ἀνθρώπων γε πεφυκότι, τοῦτο ἀδύνατόν ἐστι. ἐπεὶ καὶ ἀνωφελὴς ἂν ἦν ἡ τούτου τοῦ μυστηρίου παράδοσις, εἰ μόνοις τοῖς πάντη πάντως τελείοις οὖσι μεταλαβεῖν αὐτοῦ ἐξῆν.

Δ. Οὐκοῦν ἐξωσθήσομαι αὐτοῦ, διὰ τὸ μὴ τέλειος εἶναι;

Μ. Πᾶν γέ τοι τοὐναντίον, εἰ γὰρ τέλειοι ἦμεν, οὐκ ἂν αὐτοῦ χρείαν εἴχομεν. τῇ γὰρ ἡμετέρᾳ ἀσθενείᾳ βοηθεῖν αὐτὸ προσήκει, ἵνα τὸ τοῦ ἐντελοῦς ἡμῖν ἐνδέον ἀναπληρώσῃ.

Δ. Ἀλλὰ γὰρ οὐχὶ καὶ πρὸς ἄλλο τι τοῦτο τὸ αὐτὸ μυστήριον χρήσιμον ἡμῖν ὑπάρχει;

Μ. Πάνυ μὲν οὖν. ἔστι γὰρ καὶ γνώρισμα ἐστὶ τῆς ἡμετέρας προαιρέσεως, καὶ οἱονεὶ σύνθημά τι. τοῦτ' ἔστιν, ὅτι δι' αὐτοῦ πᾶσι

φανερὸν ποιούμεθα, ὡς τοῦ Θεοῦ λαός ἐσμεν, καὶ τὴν κατὰ Χριστὸν πάντες ὁμοψύχως προειλόμεθα θρησκείαν.

Δ. Εἰ δὲ συμβαίη τινὰ τῆς τούτων χρήσεως καταφρονητικῶς ἔχειν, τίνα δὴ περὶ αὐτοῦ γνώμην ἡμᾶς ἔχειν προσήκει;

Μ. Δῆλον ὅτι εἰκότως ἄν τις οὕτω περὶ αὐτοῦ γινώσκοι ὡς ἀληθῶς τὸν Χριστὸν ἀποσταλομένου. καὶ μὴν ὁ τοιοῦτος ὤν, ἐπειδὴ οὐκ ἀξιοῖ ὁμολογεῖν Χριστιανὸς ὤν, οὐδ' ἄξιος τοῖς Χριστιανοῖς ἐγγράφεσθαί ἐστι.

Δ. Μῶν ἀρκεῖ εἰσάπαξ παρὰ πάντα τὸν βίον ἀμφοτέροις χρῆσθαι;

Μ. Οὕτω μὲν ἀρκεῖ βάπτισμα ἕν, ὥστε δὶς λαβεῖν οὐδὲ θέμις ἐστί· περὶ δὲ τοῦ Κυριακοῦ δείπνου ἕτερος λόγος.

Δ. Τίνι οὖν ἀλλήλων διαφέρει;

Μ. Ὅτι διὰ μὲν τοῦ βαπτισμοῦ εἰσοικίζει ἡμᾶς ὁ Θεὸς εἰς τὴν ἐκκλησίαν αὐτοῦ· εἰσοικισθεῖσι δὲ διὰ τούτου, δίδωσι τὸ δεῖπνον, πιστούμενος ὅτι τοῦ διηνεκῶς ἡμᾶς τρέφειν μέλει αὐτῷ.

Δ. Ἆρα

§. 55. Δ. Ἆρά γε ϗ τοῦ τυχόντος ἐςὶ τὸ βαπτίζειν ϗ τὸ Κυριακὸν δεῖπνον παρέχειν ἢ μή;

Μ. Οὐδαμῶς, ἀλλ' ἐκείνοις ἂν ἐπιτετραμμένον τὸ ἔργον τοῦ δημοσίᾳ ἐν τῇ ἐκκλησίᾳ διδάσκειν. Ταῦτα μὲν γὰρ ἀλλήλων ἔχεται, τό, τε τὴν ἐκκλησίαν τῇ σωτηριώδει διδαχῇ βόσκειν, ϗ τὸ τῇ τῶν μυστηρίων διακονίᾳ προσεδρεύειν.

Δ. Ἆρ' ἔχεις μαρτυροῦσάν τι τοῖς σοῖς λόγοις τὴν ἱερὰν γραφήν;

Μ. Πάνυ μὲν οὖν. οἱ γὰρ Ἀπόστολοι μόνοι ἐκ πάντων τὸ τοῦ βαπτίζειν ἔργον ἐνεχειρίσθησαν ὑπὸ τοῦ Χριστοῦ, ὥσπερ ϗ τὸ τοῦ κηρύξαι τὸ εὐαγγέλιον. ὅταν δὲ τὸ τοῦ δείπνου μυστήριον τελεῖν βουλώμεθα, ἑαυτοὺς πρὸς τὸ παράδειγμα αὐτοῦ ῥυθμίζειν κελεύει. οἱ γοῦν εὐαγγελισταὶ ἱστοροῦσιν αὐτόν, ὡς δημόσιον διάκονον ὄντα, τοῖς ἄλλοις αὐτοὺς μεταδοῦναι.

Δ. Πότερον δὲ χρὴ τοὺς ποιμένας, τοὺς

μὲν τῶν μυστηρίων διακονεῖν πεπιστευμένους πᾶσιν ἀδιακρίτως μεταδιδόναι τούτων;

Μ. Τὸ μὲν βάπτισμα ἄνευ διακρίσεως δίδοσθαι χρή, ἐπειδὴ λαμβάνει αὐτὸ τὰ βρέφη μόνον· τὸ δὲ Κυριακὸν δεῖπνον φυλάξασθαι δεῖ τὸν διάκονον μὴ τινι διδῷ ὃς ἂν φανερωθῇ ἀναξίως τυγχάνειν.

Δ. Διὰ τί;

Μ. Ὅπως οὕτως ἂν αὐτῷ τὸ μυστήριον ἀτιμάζοιτο καὶ βεβηλοῖτο.

Δ. Ἀλλ' οὐχὶ καὶ τὸν Ἰούδαν, καίτοι πονηρὸν ὄντα, τῆς τούτου μετουσίας ἠξίωσεν ὁ Χριστός;

Μ. Πάνυ μὲν οὖν, ἀλλὰ τῆς αὐτοῦ ἀδικίας ἔτι κεκρυμμένης· εἰ γὰρ καὶ αὐτὴν ὁ Ἰησοῦς ᾔδει, ἀλλὰ τοὺς ἄλλους ἐλάνθανεν.

Δ. Πῶς οὖν δεῖ τοῖς ὑποκριταῖς προσφέρεσθαι;

Μ. Οὐκ ἔξεστι τῷ τοῦ εὐαγγελίου διακόνῳ ἀπείργειν αὐτούς, ὡς ἀναξίους ὄντας, ἀλλὰ δεῖ ἐκεῖνον προσδοκᾶν ἕως ἂν τὴν κα-

κίαν

κίσας αὐτῶν ὁ Θεὸς, ποτὲ φανερὰν καταστήσῃ.

Δ. Τί δὲ εἰ σύνοιδέ τισιν ἀναξίοις οὖσιν, ἢ καὶ περὶ τῶν ἐνδότων μάθῃ;

Μ. Οὐκ ἂν οὐδὲ τοῦτο ἀρκοίη πρὸς τὸ ἀπελάσαι αὐτοὺς δύνασθαι· ἀλλὰ δεῖ ἀξιοπίστως μαρτυρίας προσφέρειν, καὶ τὴν τῆς ἐκκλησίας γνώμην συμπαραλαμβάνειν ἔχειν.

Δ. Τοιγαροῦν περίεργον ἂν εἴη τὸ διαγινώσκειν τινὰς ἐν τῇ ἐκκλησίᾳ ἔχειν καὶ περὶ τούτου.

Μ. Καὶ μάλα δή, λέγω αὐτὸ ὀρθῆς κατασκευάσεως καὶ ἀνάγκης τυχεῖν μᾶλλον· οὕτω δὲ τοῦτο ἐπείγοιτ' ἄν, ἐὰν πρὸς τὸ γεραίτερον αἰρώμεθα τιμᾶν, ὡς τὰ τῶν προσώπων ἤδη δοκιμάζειν καὶ τὰ σκάνδαλα ἐκποδὼν ποιεῖσθαι, ἐπιμελεστέρους δὲ ὁμιλεῖν τῇ τοῦ Κυριακοῦ δείπνου μεταλήψει, αἰσθανομένους ἀναξίους ὄντας, καὶ τοιούτους ὥστε τῆς αὐτῶν μετανοίας μιμνῄσκεσθαι τὰ τῶν μυστηρίων, ποτὲ τῆς ἱερᾶς κοινωνίας ἀποκλείουσι.

ΤΕΛΟΣ.

Ἐρωτήματα τὰ τοῖς παισὶ προτιθέμενα πρὶν πρὸς τὸ Κυριακὸν παραδεχθῆναι δεῖπνον.

Δ. Εἰς τίνα πιστεύεις;

Μ. Εἰς Θεὸν τὸν πατέρα, καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ, καὶ εἰς τὸ ἅγιον πνεῦμα.

Δ. Ὁ πατὴρ καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, ἆρα πλείους εἰσὶν ἑνὸς Θεοῦ;

Μ. Οὐδαμῶς.

Δ. Πότερον δεῖ λατρεύειν τῷ Θεῷ ἀκολούθως τοῖς προστάγμασιν αὐτοῦ, ἢ κατὰ τὰς τῶν ἀνθρώπων παραδόσεις;

Μ. Ἀκολούθως ἄρα ταῖς αὐτοῦ ἐντολαῖς ἀλλ' οὐ τοῖς ἀνθρωπίνοις παραγγέλμασι δεῖ προσφέρειν αὐτῷ θεραπείαν.

Δ. Ἆρα σὺ οἷός τε εἶ, ἀφ' ἑαυτοῦ τὰ τοῦ Θεοῦ ἐντάλματα τελέσαι;

Μ. Ἥκιστά γε.

Δ. Τίς ἐστιν ὁ ἐν σοὶ τελῶν ἐκεῖνα;

Μ. Τὸ

M. Τὸ ἅγιον Πνεῦμα.

Δ. Ὅτι μὲν ὁ Θεὸς τὸ ἅγιον αὐτοῦ πνεῦμα χαρίζεταί σοι, ἆρα τοῦτο ἐκ [illegible] ως αὐτοῦ δύνασαι;

M. Οὐκ.

Δ. Ἀλλ' ἆρα [illegible] σοι ὅτι καθαροί τοι [illegible] τοῦ Θεοῦ [illegible] ἐὰν μὴ ἐντολὰς τὰς ὑπ' αὐτοῦ [illegible] ποιήσητε;

M. [illegible].

Δ. Τίνι οὖν τῇ μηχανῇ τοῦ [illegible] καὶ τὴν τοῦ Θεοῦ κατάραν ἐκφεύγομεν;

M. Ὁ θάνατος καὶ τὸ πάθημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Δ. Πῶς δή;

M. Ὅτι διὰ τοῦ θανάτου αὐτοῦ ἡμᾶς [illegible] ἀπ[illegible]σε, καὶ Θεῷ τῷ πατρὶ κατήλλαξε.

Δ. Τίνι δὲ προσεύχῃ;

M. Τῷ Θεῷ.

Δ. Ἐν ὀνόματι δὲ τίνος αὐτῷ προσεύχῃ;

M. Ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-

ςῦ, ὃ ἡμῶν συνηγόρει καὶ μεσίτης ὄντος.

Δ. Πόσα ἡ τῶν Χριστιανῶν ἐκκλησία μυστήρια ἔχει;

Μ. Δύο.

Δ. Τὰ ποῖα;

Μ. Τὸν βαπτισμὸν καὶ τὸ ἅγιον δεῖπνον.

Δ. Τί ἡμῖν ὁ βαπτισμὸς ἐμφαίνει;

Μ. Δύο ἡμῖν ἐν αὐτῷ παρίστησιν ὁ Κύριος, τὴν τῶν ἡμετέρων ἁμαρτιῶν ἄφεσιν δηλονότι, καὶ τὴν ἡμετέραν παλιγγενεσίαν, ἢ πνευματικὴν ἀναγέννησιν.

Δ. Τὸ δὲ δεῖπνον τί ἡμῖν διαδηλοῖ;

Μ. Ὅτι διὰ τῆς τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου κοινωνίας αἱ ἡμέτεραι ψυχαὶ εἰς ἐλπίδα ζωῆς αἰωνίου τρέφονται.

Δ. Τί δὲ αἰνίττονται ὁ ἄρτος καὶ οἶνος οἱ ἐν τῷ δείπνῳ ἡμῖν προσφερόμενοι;

Μ. Τὸ τοιοῦτόν τι ἐν ταῖς ἡμετέραις ψυχαῖς ἐνεργεῖν τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ δίκαιον, ὅπερ ὁ ἄρτος καὶ ὁ οἶνος ἐν τοῖς σώμασιν ἡμῶν ἐνέργειαν ἔχουσι.

Δ. Ἀεὶ

Δ. Ἆρα τῷ μὲν ἄρτῳ τὸ τοῦ Ἰησοῦ Χριστοῦ σῶμα, τῷ δὲ οἴνῳ τὸ αἷμα εἰσκεκλεῖσθαι νοεῖς;

Μ. Οὐδαμῶς.

Δ. Ποῦ οὖν ζητητέος ἡμῖν Ἰησοῦς Χριστὸς, ὅπως ἀπολαύωμεν αὐτοῦ;

Μ. Ἐν τῷ οὐρανῷ, παρὰ τῇ τοῦ πατρὸς αὐτοῦ δεξιᾷ.

Δ. Πῶς ἂν εἰς οὐρανὸν ἀφικνεῖσθαι δυνάμεθα, ὅπου Ἰησοῦς Χριστὸς ἐστί;

Μ. Διὰ τῆς πίστεως.

Δ. Δεῖ οὖν ἡμῖν τὴν ἀληθῆ προσεῖναι πίστιν τούτῳ τῷ μυστηρίῳ δεόντως χρῆσθαι μέλλουσι.

Μ. Μάλιστα.

Δ. Πῶς δ' ἂν ταύτης τῆς πίστεως τυχεῖν δυνατοὶ ὦμεν;

Μ. Διὰ τοῦ ἁγίου πνεύματος συντυγχάνομεν αὐτῆς, ὃ ταῖς ἡμετέραις καρδίαις ἐνοικοῦν, πείθει τὴν ἐπαγγελίαν τοῦ Θεοῦ τὴν ἐν τῷ εὐαγγελίῳ πεποιημένην ἡμᾶς ἐπελπίζειν.

ΤΕΛΟΣ.

ΚΑΤΗΧΙΣΜΟΣ

ἄλλος συντομώτερος.

§. 1. E. Ιὰ τί ὁ Θεὸς γεννηθῆναι ἡμᾶς ἠθέλησε;

A. Ἵνα γινώσκωμεν αὐτὸν καὶ θεραπεύωμεν.

E. Πότερον οὖν ἡμῖν προσήκει καὶ θεραπεύεσθαι κατὰ τὴν ἡμετέραν προαίρεσιν βούλεσθαι, ἢ κατ' ἐκεῖνα ἃ περὶ τούτου διατάσσαι ἡμῖν ἠξίωσε;

A. Κατ' ἐκεῖνα ἅπερ ἡμῖν ἐδήλωσε.

E. Ποῦ ταύτην τὴν δήλωσιν εὑρίσκομεν;

A. Ἐν τῷ συντάγματι ὃ Βίβλια καλοῦμεν, ὅπερ μετὰ πολλῶν ἱστοριῶν τὸν νόμον καὶ εὐαγγέλιον περιέχει.

E. Τίς ταῦτα ἔγραψε;

A. Ὁ Θεὸς διὰ τῶν ἑαυτοῦ Προφητῶν καὶ Ἀποστόλων.

E. Τί ἐστιν ὁ νόμος;

A. Διδαχή ἐστιν ἡ τοὺς ἀνθρώπους διδάσκουσα πῶς τε ὀφείλουσι πρὸς Θεὸν καὶ πῶς πρὸς ἀλλήλους προσφέρεσθαι δεῖ.

E. Τί

Ε. Τί ἐστι τὸ [illegible] ;

Α. [illegible] ἐν [illegible], ἐξ ἧς [illegible] μανθάνομεν ἃ ἡμᾶς [illegible] [illegible] [illegible] διὰ Ἰησοῦ Χριστοῦ σωτηρίαν.

Ε. Πότερον αὕτη [illegible] ἡμᾶς καὶ [illegible] ;

Α. Μάλιστα· [illegible] ἐστι [illegible] προστιθέναι τὶ ἢ ἀφαιρεῖν, τῶν ἀθεμιτῶν ἐστί.

Ε. Λέγε δή μοι τὰ τῆς πίστεως κεφάλαια.

Α. Πιστεύω εἰς Θεὸν· καὶ τὰ ἑξῆς.

§. 2. Ε. Ἄρα μανθάνομεν ἐκ ταύτης τῆς διδαχῆς ὅτι εἷς μόνον ἐστὶ Θεὸς, ἢ ὅτι πλείους εἰσί;

Α. Ὅτι εἷς μόνον ἐστὶ, καὶ ὅτι τῶν ἀδυνάτων ἐστὶ πλείους εἶναι.

Ε. Τίνος ἕνεκα;

Α. Ὅτι ἀνάγκη ἐστὶν ἐκεῖνον ὃς ἂν Θεὸς ᾖ, πάντων τῶν ὄντων ἀνώτερον καὶ κρείττονα εἶναι. διὸ καὶ οὐδένα κοινωνὸν ἔχειν δύνασθαι.

Ε. Ὅμως δὲ τρεῖς ὀνομάζεις, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα.

Α. Εἰσὶ μὲν τρία πρόσωπα ἐν μιᾷ καὶ τῇ αὐτῇ θεότητι, ἀλλὰ τὰ τρία ταῦτα πρόσωπα εἰσὶν ὁ αὐτὸς καὶ μόνος Θεός.

Ε. Ἆρα νοεῖς τὸν Θεὸν εἰς τρία μέρη διῃρημένον;

Α. Οὐδαμῶς (οὐδὲ γὰρ ὁ Θεὸς διαιρετός ἐστι) ἀλλ᾽ ἕκαστον τῶν τριῶν τούτων προσώπων εἶναι τὸν αὐτὸν καὶ μόνον Θεὸν παντέλειον φημί.

Ε. Πῶς τοῦτο δυνατόν;

Α. Ἀπόρρητόν τι ἐστὶ τοῦτο, τῆς ἡμετέρας ἀγχινοίας κρεῖττον ἐστὶ καὶ ὅμως ἀναμφίβολον πάντως, ἅτε διὰ τοῦ τοῦ Θεοῦ λόγου πιστωθέν.

Ε. Ἆρα οὖν πιστεύεις εἰς ἕνα Θεόν, τὸν Πατέρα, καὶ τὸν υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα;

Α. Πάνυ γε καὶ ταύτῃ τῇ πίστει ἐναποθνήσκειν βούλομαι.

§. 3. Ε. Τί ὁ τοῦ Θεοῦ υἱὸς ὀνομάζεται;

Α. ΙΗΣΟΥΣ ΧΡΙΣΤΟΣ.

Ε. Τί σημαίνουσιν αὗται αἱ φωναί, Ἰησοῦς Χριστός;

Α. Τὸ μὲν Ἰησοῦς ταυτὸ δύναται ὅπερ σωτήρ· τὸ δὲ Χριστός, ταυτὸ ὅπερ ἀληλιμμένος καὶ κα-

θιερω-

φιερωμένος ἵνα ᾖ ὁ μέγιστος ἡμῶν βασιλεύς, κράτος εἰς πάντα τὰ κτισθέντα ἔχων· ἔτι δὲ ὁ μέγιστος ἡμῶν προφήτης, ὃς ἐξεπλήρωσε τὸ θέλημα Θεοῦ τοῦ πατρὸς αὐτοῦ ἡμῖν ἐδήλωσε, καθ' ὅσον γε τῇ σωτηρίᾳ ἡμῶν ἐπιβάλλει μέρος· οὐ μὴν ἀλλὰ καὶ ὁ μέγιστος ἡμῶν ἱερεύς, ὃς τὴν τοῦ Θεοῦ καθ' ἡμῶν ὀργὴν παντελῶς ἔπαυσε.

Ε. Τί ἐποίησε καὶ ἔπαθεν ἵνα ἡμᾶς σώζῃ;

Α. Συνελήφθη ἐκ τοῦ ἁγίου Πνεύματος, ἐγεννήθη ἐκ Μαρίας τῆς παρθένου, καὶ τὰ ἑξῆς.

Ε. Ἆρα δύναται ἀποθνήσκειν ὁ Θεός;

Α. Οὐδαμῶς.

Ε. Ὁ Ἰησοῦς Χριστὸς οὐκ ἔστι Θεὸς ἀΐδιος μετὰ τοῦ Πατρὸς αὐτοῦ καὶ τοῦ ἁγίου πνεύματος;

Α. Ἔστιν ἄρα.

Ε. Πῶς οὖν ἀπέθανεν;

Α. Ἐπειδή, ἀληθινὸς Θεὸς ὑπάρχων, ἑαυτὸν ἐποίησεν ἄνθρωπον, ἵνα ἡ φύσις ἡμετέρα ἐν αὐτῷ τάξιν ἡμῶν ἐπέχοντι πάσχοι τὴν ὀφειλομένην τοῖς ἡμετέροις παραπτώμασι τιμωρίαν τινά.

Ε. [illegible] Θεὸς [illegible] ἄνθρωπος [illegible];

Α. [illegible] Θεὸς [illegible] ὁ Θεὸς [illegible] ἀληθινὸς [illegible], ἤγουν Θεὸς ἀληθινὸς [illegible] ἄνθρωπος [illegible].

Ε. Εἰ μὴ Θεὸς ἦν, [illegible] ρας [illegible];

Α. Οὐδαμῶς· ὁ μόνος γὰρ τοῦ Θεοῦ ἐστὶ, τὰς ἁμαρτίας συγχωρῆσαι, καὶ τὴν αἰώνιον ζωὴν διδόναι.

Ε. Εἰ δὲ ἄνθρωπος οὐκ ἦν, ἆρα ἂν ἡμέτερος ἦν σωτήρ;

Α. Εἰ οὐκ ἦν ἄνθρωπος, οὐκ ἂν ἀπέθανεν· διὸ καὶ ἔτι καὶ νῦν τῷ θανάτῳ [illegible] χρηστὸς [illegible].

§. 4. Ε. Πότερον πάντες ἄνθρωποι [illegible] σωθήσονται;

Α. Οὐ δῆτα· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων τῆς ἑαυτῶν σωτηρίας [illegible].

Ε. Τίνες οὖν σωθήσονται;

Α. Οἱ πίστιν ἔχοντες.

Ε. Τί δέ ἐστιν ἡ πίστις; Α. Πι-

Α. Πεποίθησις ἣν παντὶ Χριστιανῷ ὑπάρχειν δεῖ, περὶ τοῦ ἑαυτὸν ὑπὸ τοῦ Θεοῦ πατρὸς διὰ τὸν Ἰησοῦν Χριστὸν ἀγαπᾶσθαι.

Ε. Τίνος ἕνεκα λέγεις, Διὰ Ἰησοῦν Χριστόν;

Α. Ὅτι οὐκ ἂν δύναιτο ἀγαπᾷν ἡμᾶς ὁ Θεός, ἅτε δὴ πάντως διεστραμμένους καὶ διεφθαρμένους, εἰ μὴ ἀφορῶν εἰς ἐκεῖνον μόνον ὃς ἄνθρωπος πάντη πάντως δίκαιος καὶ τέλειός ἐστιν. οὗτος δὲ ἐστὶν Ἰησοῦς Χριστός, ὁ υἱὸς αὐτοῦ.

Ε. Αὕτη ἡ πίστις ἆρα καθ' ἡμᾶς γίνεται ἀφ' ἡμῶν;

Α. Οὐ δῆτα (μόνον δὲ ἡ τοῦ Θεοῦ χάρις τοῖς ἐκλεκτοῖς αὐτὴν δωρεῖ).

Ε. Οἷς δὲ αὕτη ἡ πίστις ἔνεστιν, ἆρα σωθήσονται;

Α. Ἐκείνους σώζεσθαι ἀνάγκη, ὁ γὰρ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἔδωκεν ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, τῆς αἰωνίου ζωῆς τυγχάνῃ. ἔστι δὲ ὁ Θεὸς οἷος οὐ ψεύδεσθαι.

§. 5. Ἀλλὰ τί ἐστι τῆς πίστεως γνώρισμα;

Α. Τὰ ἀγαθὰ τῶν ἔργων.

Ε. Τίνα δ' ἐστὶ τὰ ἀγαθὰ ἔργα, καὶ τίνα κακά;

Α. Τὰ ἀγαθά, ἐκεῖνά ἐστιν ἃ προσέταξε· τὰ δὲ κακά, ἃ ἀπηγόρευσε.

Ε. Τίνα οὖν ἐστὶ τὰ τοῦ Θεοῦ προστάγματα;

Α. Ἄκουε Ἰσραήλ, καὶ τὰ ἑξῆς· οὗ τὸ κεφάλαιόν ἐστιν, Ἀγαπήσεις καὶ τὰ ἑξῆς.

Ε. Ἐπίστασθαι τὰ τοῦ Θεοῦ προστάγματα, οὐ μόνον ἐστὶ τὸ ἀπὸ στόματος αὐτὰ λέγειν δύνασθαι, ἀλλ' ἅμα καὶ τὸ λεγόμενον δεῖ συνιέναι· ἐρωτῶ οὖν σε τί σημαίνει ἐν τῇ τρίτῃ ἐντολῇ, λαμβάνειν τὸ ὄνομα τοῦ Θεοῦ.

Α. Τὸ τὸν Θεὸν ὀνομάζειν· ὅπερ οὐ δεῖ ἡμᾶς εἰ μὴ εὐλόγως ποιεῖν, καὶ εὐλαβουμένους ὃν ὀνομάζομεν.

Ε. Τοιγαροῦν μᾶλλον εἰκός ἐστιν ἀπηγορεῦσθαι ὀμνύμεναι τὸν Θεὸν ματαίως· τοῦτ' ἔστι, λαμβάνειν αὐτὸν εἰς μάρτυρα καὶ κριτὴν εἰ μὴ διά τινα εὔλογον αἰτίαν.

Α. Οὕτως ἔχει ταῦτα.

Ε. Τί ἐστι τὸ ἁγιάζειν τὴν ἡμέραν τοῦ σαββάτου;

Α. Τὸ ἀνατιθέναι αὐτὴν καὶ καθιερῶσαι τῇ τοῦ Θεοῦ δόξῃ.

Ε. Οὐ-

Ε. Οὐχὶ ἢ τὰς ἄλλας τοῦ ἡμετέρου βίου ἡμέρας αὐτῷ ἀνατιθέναι χρεών;

Α. Χρὴ γάρ· ἀλλ' αὕτη ἡ ἡμέρα ἰδίως πρὸς τοῦτο ἀποτέτακται.

Σ. Πότερον ἀπηγορεύθη ἔργον τι ποιεῖν τῇ Κυριακῇ ἡμέρᾳ, ἅτε τοῦ ἐργάζεσθαι ἀφ' ἑαυτοῦ κακόν τι ἔχοντος ἢ;

Α. Οὐδαμῶς· ἀλλὰ τὰ συνήθη ἀπαγορεύεται ἔργα, ὅπως τὶς κρείττοσι σχολάζῃ.

§. 6. Ε. Εἶπες, ἀγαθὰ ἔργα, εἶναι ἐκεῖνα ἃ ὁ Θεὸς προσέταξεν· ἆρα οὖν τὰ τοῦ Θεοῦ προστάγματα ἐπιτελεῖν δυνάμεθα;

Α. Μᾶλλον δὲ οὐδὲ ἄρχεσθαι τοῦ ἐπιτελεῖν αὐτὰ οἷοί τε ἐσμὲν, ἐὰν μὴ ἡ τοῦ Θεοῦ χάρις ἡμῖν παραστῇ· τελείως δὲ αὐτὰ οὐδεὶς ἄλλος ἐπλήρωσεν, ἢ πληρώσει, ἢ Ἰησοῦς Χριστός.

Ε. Διὰ τί;

Α. Ὅτι ὁ Θεὸς σώζειν ἡμᾶς βούλεται μόνῳ τῷ αὐτοῦ ἐλέει ἐν Ἰησοῦ Χριστῷ.

Ε. Ὅμως δὲ ὁ ἀγαθοεργὸς βίος πρὸς σωτηρίαν ὁδός ἐστι.

Α. Ἀλη-

Α. Ἀληθὲς μὲν ἐστὶ τοῦτο, ἀλλ' ἡ μεταμέλεια καὶ ἡ τοῦ βίου ἐπανόρθωσις τῆς τῶν ἡμετέρων ἁμαρτημάτων ἀφέσεως αἰτία πέλωσιν· ἀλλὰ πρὸς τούτοις χ ἔπειτα τὸ τὰ ἡμέτερα ἔργα τὴν σωτηρίαν ἡμῶν προξενεῖν.

Ε. Διὰ τί δὲ ἐκ τῶν ἡμετέρων ἔργων οὐ σωθησόμεθα, εἴπερ ἀγαθὰ ὄντα τυγχάνει;

Α. Ὅτι οὐχ οὕτως ἀγαθά ἐστιν, ὥστε ἱκανὰ εἶναι τοῦτο ποιεῖν.

Ε. Πρὸς τίνας οὖν πράξεις ἀγαθά ἐστι;

Α. Πρὸς τὸ τιμᾶν τὸν Θεόν, πρὸς τὸ κερδαίνειν ἢ ἐπιρρωννύναι τὸν πλησίον, ἔτι καὶ πρὸς τὸ βεβαιώσασθαι ὅτι τοῦ Θεοῦ υἱοὶ ἐσμέν.

Ε. Οὐκοῦν τὰ ἀγαθὰ τῶν ἔργων ἡμᾶς τοῦ Θεοῦ υἱοὺς ποιεῖ;

Α. Οὐδαμῶς (τοῦ μὲν γὰρ Θεοῦ υἱοὺς εἶναι χρὴ πρὶν ἂν ἀγαθὰ ἔργα ποιῶμεν) ἀλλὰ ταῦτά ἐστι τῶν τοῦ Θεοῦ υἱῶν γνωρίσματα.

Ε. Τί οὖν ἡμᾶς τοῦ Θεοῦ υἱοὺς ποιεῖ;

Α. Μόνη ἡ τοῦ Θεοῦ χάρις καὶ ἔλεος διὰ τοῦ ἁγίου πνεύματος αὐτοῦ, καθ' ὅσον ἡμᾶς ἀ-

πο

πὸ χρισάμενον ἡμῖν τὸ ἀληθινὸν αὐτὸ ἐξελέξατο,
ἐστί; Ε. Λέγε οὖν τὸ ἅγιον Πνεῦμα ὅτι
τὸ ἡμᾶς αὐτοῦ μετόχους ποιοῦν, ἀλλὰ ποίοις ὀργάνοις
χρώμενον τοῦ τοῦ ἀγαθοῦ ἐπιτυχεῖς ἡμᾶς
ἀποδείκνυσι, καὶ ἐν τούτῳ διατηρεῖ;

A. Τῷ κηρύγματι τοῦ λόγου, τῇ προσευχῇ, καὶ τοῖς μυστηρίοις.

E. Τί δὴ ποτέ ἐστιν ὃ τοῦ λόγου κήρυγμα ὀνομάζεις;

A. Ἐξήγησις τῶν τε Προφητικῶν καὶ τῶν Ἀποστολικῶν γραφῶν ἡ ἐν τῇ ἐκκλησίᾳ ποιουμένη διὰ ἐκείνων οὓς πρὸς ταύτην τὴν ἁγίαν διακονίαν ἐκέλευσεν ὡς ἐν εἴρηται, Ὅσπερ ὑμᾶς δέχεται, ἐμὲ δέχεται.

E. Τίς δὲ ἐστὶν ἡ σὴ προσευχή;

A. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἑξῆς.

E. Τίνι ταῦτα λέγεις;

A. Θεῷ τῷ πατρί.

E. Πῶς πατὴρ σοῦ ἐστιν, ὃς μονογενῆ υἱὸν ἔχει, τὸν Ἰησοῦν Χριστὸν δηλαδή;

A. Πρῶτον μὲν, ἐπειδὴ Ἰησοῦς Χριστὸς, ὁ

ἀΐδιος

ἄλλως αὐτοῦ υἱός, [illegible] ἑαυτὸν ἡμᾶς καὶ ἀδελφὸν νεώτερον [illegible] δὲ ὅτι πρὸς ἡμᾶς ἐν Ἰησοῦ Χριστῷ μείζονά τινα ἢ πατρικὴν φιλοστοργίαν ἐπιδείκνυσι.

E. Τοιγαροῦν μὴ καὶ ὁ σὸς λόγος οὐδὲ πρὸς τὸν υἱὸν οὐδὲ πρὸς τὸ ἅγιον πνεῦμα τείνει, οὐδέτερον παρακαλεῖ τινας.

A. Οὐδαμῶς· καὶ γὰρ οὐδὲ ὀνομάσαι αὐτὸν πατέρα δυνάμεθα, εἰ μὴ ἐν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ· οὐδὲ ἐπικαλέσασθαι εἰ μὴ διὰ τοῦ ἁγίου πνεύματος.

E. Τί δέ; οὐκ ἔξεστι καὶ τὸ πρόσωπον τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐν τῇ προσευχῇ προσφωνεῖν;

A. Μάλιστα. ἐπειδὴ γὰρ ταῦτα τὰ τρία πρόσωπα εἷς καὶ ὁ αὐτὸς Θεός εἰσι, ἐπικαλεῖσθαι εἰκὸς ἐστί. καὶ μὴν, εἴτε τὸν πατέρα ἐπικαλῶμεν ἐν ὀνόματι τοῦ υἱοῦ, διὰ τοῦ ἁγίου πνεύματος, εἴτε προσφωνοῦμεν τὸν υἱὸν, ὅπως μοι πρὸς τὸν πατέρα προηγῆται, εἴτε δεώμεθα τοῦ ἁγίου πνεύματος ὅπως μοι τὸν πατέρα καὶ τὸν υἱὸν γνωρίσῃ, εἰς ταὐτὸ τάδε τείνει.

§. 8. Τί

§. 8. Ε. Τί δέ ἐστι μυστήριον;

Α. Χρῆμά τι ἐστὶν ὅπερ ὁ Θεὸς ἡμῖν πρὸ ὀφθαλμῶν τίθησιν ἐν τῇ ἑαυτοῦ ἐκκλησίᾳ, ἵνα ἡμῖν διὰ τούτου ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ ἄλλο τι ἐμφαίνῃ, ὅπερ ἀόρατον ὂν τυγχάνει.

Ε. Διὰ τί ὁ Θεὸς ταῦτα τὰ σημεῖα τοῖς ἑαυτοῦ ἐπαγγελίαις προσέζευξε;

Α. Ὅπως ἀναμφισβητήτως ἡμεῖς ταῦτα μᾶλλον πεπεισμένοι ὦμεν.

Ε. Πόσα ἐστὶ σημεῖα τοιαῦτα ἐν τῇ τῶν Χριστιανῶν ἐκκλησίᾳ;

Α. Δύο· ὁ βαπτισμὸς δηλονότι καὶ τὸ ἅγιον δεῖπνον.

Ε. Τί ὁρᾷς ἐν τῷ βαπτισμῷ;

Α. Ὕδωρ.

Ε. Τίνος σημεῖον ἐστὶ σοι τοῦτο τὸ ὕδωρ;

Α. Τοῦ αἵματος τοῦ Χριστοῦ.

Ε. Πρὸς τί δεῖ σοι τούτου,

Α. Πρὸς τὸ ἀπορρύψαι τὰς ἡμετέρας ἁμαρτίας, καθάπερ τὸ ἐπιχεόμενον ὕδωρ τὰς τοῦ σώματος κηλῖδας ἀπορρύπτει.

Ε. Τοῦτο

Ε. Τοῦτο τὸ ὕδωρ πότερον ἀποῤῥύπτει τὰ ἁμαρτήματα;

Α. Οὐδαμῶς· ἀλλὰ σημεῖον ἐστί μοι ἐκείνου ὃ τὰς ἐμὰς ἁμαρτίας ἀπομόργνυται, ἤγουν τοῦ αἵματος τοῦ Χριστοῦ.

Ε. Μανθάνεις ταύτην τὴν τοῦ αἵματος ὕλην ἀποκαθαίρειν τὴν ἡμετέραν ψυχήν;

Α. Οὐδαμῶς. οὐ γὰρ ἐν ὕλῃ τινὶ ἀπολούεσθαι ἡ ψυχὴ ἡμῶν δύναιτο, ὥσπερ τὸ σῶμα· ἀλλά με τοῦτο τὸ αἷμα ἀποκαθαίρει, καθόσον αὐτὸ Ἰησοῦς Χριστὸς ἐξέχεεν ὅπως τὴν ὀφειλομένην τοῖς ἐμοῖς ἁμαρτήμασι τιμωρίαν ἀποτίνῃ.

Ε. Ἆρα οὖν τὸ τοῦ βαπτισμοῦ ὕδωρ διαφέρει τι τοῦ κοινοῦ;

Α. Οὐδαμῶς, ὅσον γε πρὸς τὴν ὕλην (οὐδὲ γὰρ ὕδωρ ὂν παύεται) ἀλλὰ κατὰ τὴν χρείαν πολὺ διαφέρει. τῷ μὲν γὰρ κοινῷ ὕδατι πρὸς τὸ ἀποῤῥύψαι τὰς τῶν ἡμετέρων σωμάτων κηλῖδας χρώμεθα, τὸ δὲ τοῦ βαπτισμοῦ ὕδωρ τῆς τῶν ἡμετέρων ψυχῶν ἀποῤῥύψεως μυστήριόν ἐστι.

§. 9. Τί

δέχω. Ε. Τί ἐν τῇ κοινωνίᾳ τῇ αὐτῇ βλέπεις;

Α. Ἄρτον καὶ οἶνον, ἃ χρὴ παρὰ τοῦ Θεοῦ μεταλαμβάνειν προσφέρεσθαι.

Ε. Τί οὖν οὗτος ὁ ἄρτος καὶ οὗτος ὁ οἶνος σημαίνετον;

Α. Ὁ μὲν ἄρτος, σῶμα τὸ ὑπὲρ ἐμοῦ ἐσταυρωμένον, ὁ δὲ οἶνος, αἷμα τὸ ὑπὲρ ἐμοῦ ἐκχυθὲν σημαίνεται.

Ε. Τί δέ σοι τοῦ ταῦτα σημαίνεσθαι ὄφελος;

Α. Μαρτυροῦσιν ἐμοὶ καὶ πιστοῦνται, καθάπερ τούτῳ ἄρτῳ καὶ τούτῳ τῷ οἴνῳ ἀποτίζεσθαι τὸ τοῦ ἡμᾶς ἐν τῷδε τῷ βίῳ διασώζειν ἔργον, οὕτως ὁ ἡμέτερος κύριος Ἰησοῦς Χριστὸς τὸ ἑαυτοῦ σῶμα καὶ τὸ ἑαυτοῦ αἷμα ἔδωκεν ὑπὲρ ἐμοῦ, καὶ ἑαυτὸν ἐμοὶ δίδωσιν, ὅπως ἀπ' αὐτοῦ ἐν ἐμοὶ ἡ αἰώνιος ζωὴ ἀπορρέῃ.

Ε. Οὗτος ὁ ἄρτος καὶ οὗτος ὁ οἶνος ἄρα τρέφουσιν ἡμᾶς πνευματικῶς;

Α. Οὐδαμῶς· ἀλλ' ἐκεῖνο σημαίνουσιν ἡμῖν

ὅθεν

ὅθεν ὁ ἀΐδιος βίος ἐκπορεύεται, ἤγουν, τὸν ἐπὶ σταυροῦ πεπονθότα θάνατον, ἵνα τὴν τοῦ ἡμετέρου θανάτου αἰτίαν ἀναιρῇ, ἤγουν τὰ παραπτώματα· καὶ ἵνα εἰς τὸν αἰώνιον βίον ἡμᾶς ἀνακαινίζῃ, ἀκμήν τινα πνευματικὴν ἐπιπέμπων.

Ε. Ἄρα οὖν ὁ τοῦ μυστηρίου ἄρτος καὶ οἶνος τοῦ συνήθους ἄρτου τε οἴνου διαφέρουσί τι;

Α. Οὐδαμῶς, ὅσον γε πρὸς τὴν ὕλην (οὐδὲ γὰρ ἄρτος καὶ οἶνος παύονται ὄντες) ἀλλ' ἡ χρεία πολὺ διαφέρει. αἱ γὰρ συνήθεις τροφαὶ χρείαν τούτῳ τῷ βίῳ παρέχονται, τὰ δὲ μυστήρια τὴν πνευματικὴν καὶ ἀΐδιον διατροφὴν ἡμῶν αἰνίττεται.

§. 10. Ε. Διὰ τί τῷ Κυριακῷ δείπνῳ δύο σημεῖα ἀπονέμει, ἑνὸς μόνου τῷ βαπτισμῷ δοθέντος.

Α. Ἵνα πεπεισμένοι ὦμεν αὐτὸν οὐκ ἐξ ἡμισείας τρέφειν ἡμᾶς, ἀλλὰ πάντως, ἅτε δὴ οὐ μόνον τὸ ἡμέτερον σιτίον ἀλλὰ καὶ τὸ ποτὸν ὑπάρχοντα.

Ε. Πῶς

Ε. Ποῦ νῦν ἐστιν ὁ Ἰησοῦς Χριστὸς κατὰ τὴν ἀνθρωπίνην ἑαυτοῦ φύσιν;

Α. Ἐν τῷ οὐρανῷ, ὅθεν ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς.

Ε. Πῶς οὖν σὺ ὁ ἐν τῇ γῇ ὤν, δέχεσθαι αὐτὸν δύνασαι;

Α. Ὥσπερ τῇ χειρὶ καὶ τῷ στόματι τὰ μυστήρια δέχομαι, τοῦτ' ἔστι τοῦτον τὸν ἄρτον καὶ τοῦτον τὸν οἶνον, πρὸς τὸ τρέφειν τοῦτο τὸ σῶμα· οὕτω τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ, καὶ δέχομαι ἐν τῇ ἐμῇ ψυχῇ καὶ τῇ πίστει ἐναγκαλίζομαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀληθινὸν θεόν τε καὶ ἄνθρωπον· ὅπως ἐντεῦθεν τῆς αἰωνίου ζωῆς τυγχάνω.

Ε. Οἱ πίστιν οὐκ ἔχοντες ἆρα δέχονται Ἰησοῦν Χριστὸν ἐν τῷ μυστηριώδει δείπνῳ;

Α. Οὐδαμῶς (οὐκ ἄλλως γὰρ ἢ πίστει Ἰησοῦν Χριστὸν δέχεσθαι δυνατόν ἐστιν) ἀλλ' οὕτω τὰ μυστήρια δέχονται ὥστε αὐτοῖς εἰς κατάκρισιν περιΐστασθαι.

Ε. Διὰ τί;

Α. Ὅτι

Α. Ὅτι οὐδὲν διαφέρειν βούλονται τοῦ συμβῆναι ἄρτον καὶ οἶνον ἐκείνων ἅ ἐστι μυστηριώδη σημεῖον τοῦ σώματος καὶ τοῦ αἵματος Ἰησοῦ Χριστοῦ, ὃν τῇ ἑαυτῶν ἀπιστίᾳ ἀπωθοῦνται.

Ε. Πῶς οὖν παρασκευάζειν ἑαυτὸν δεῖ τὸν βουλόμενον πρὸς τοῦτο τὸ δεῖπνον, ὅπως ἐλθεῖν ὡς ἡ αὐτοῦ ἀξία ἀπαιτεῖ;

Α. Μεταμέλεσθαι αὐτῷ δεῖ τοῦ παρῳχημένου βίου, καὶ τὰ ἑαυτοῦ ἁμαρτήματα ἔναντι τοῦ Θεοῦ ἐπιγινώσκειν, καὶ ἔτι δὲ τοῖς ἀδελφοῖς καὶ ἐπανορθοῦν αὐτά, ὅσον δύναμις. χρὴ δὲ καὶ διεγνῶχθαι πάντως αὐτῷ βίον ὀρθότερον ἄγειν, καὶ Ἰησοῦν Χριστὸν διὰ πίστεως ἀληθινῆς ἐν ταῖς ἑαυτοῦ ἐπαγγελίαις καὶ τοῖς μυστηρίοις ἐναγκαλίζεσθαι, ὡς ἕνα καὶ μόνον σωτῆρα ὄντα.

Ε. Ἀλλὰ γὰρ πότερον Ἰησοῦς Χριστὸς αἵρεσιν ἡμῖν δίδωσιν, εἴτε πρὸς τὸ μυστηριῶδες αὐτοῦ δεῖπνον ἔρχεσθαι βουλόμεθα, εἴτε μή;

Α. Ἐν τῷ ἀπαγορεύειν ἔρχεσθαι πρὸς αὐτὴν ἀναξίως, κελεύει πάντας οἷς κρίσις τῆς πίστι, παρασκευάζειν ἑαυτοὺς πρὸς τὸ ἀξίως ἔρχεσθαι.

Δοίη δὲ ὁ Θεὸς ἡμῖν πᾶσιν τὸ οὕτω πρὸς αὐτὴν ἐλθεῖν, ὥστε αὐτὸν ἐντεῦθεν δόξης, ἡμᾶς δὲ σωτηρίας τυγχάνειν.

ΤΕΛΟΣ.

